AKROPOLIS WORLD NEWS

www.akwn.net

J. Coderch

Eighteenth Year

(September 2019 - June 2020)

Around the months of March and April Marinus van de Ven, from the Netherlands, sent me some pieces of news written by him, which I included in the web site. You will see that they are conveniently indicated as having been written by him

Διαδήλωσις κατὰ τοῦ Βόρις Ἰόνσον

1 Σεπτεμβρίου 2019

Χθὲς τῷ Σαββάτῳ πολλοὶ πολῖται οὐ μόνον ἐν τῷ Λονδίνῳ ἀλλὰ καὶ ἐν πολλαῖς ἄλλαις Βρεταννικαῖς πόλεσι εἰς τὰς ἀγυιὰς ἔρρευσαν καὶ διεδηλώσαντο τῷ πρωθυπουργῷ Βόρις Ἰόνσον ἀνθιστάμενοι· ἡ δὲ αἰτία; ὁ πρωθυπουργός, ὃς οὐδένα λανθάνει τῷ οὕτω καλουμένῳ "σκληρῷ Βρέξιτ" ἐπικουρῶν (τῇ ἐκ τῆς Ευρωπαικῆς Ἑνώσεως ἄνευ συνθήκης ἐξόδῳ), νεωστὶ τὴν Βουλὴν κλεῖσαι ἐκέλευσεν ἵνα ῥᾷον γένοιτο αὐτῷ τοιοῦτο Βρέξιτ κτᾶσθαι οὐδενὸς βουλευτοῦ ἀνθισταμένου. νῦν ὃ πολλοὶ τῶν πολιτῶν λέγουσι τόδε ἐστίν, ὅτι κατὰ τοὺς νόμους οὐδαμῶς ἔξεστι τῷ πρωθυπουργῷ τὴν Βουλὴν κλεῖσαι (ὁ βασιλεὺς Καρόλος Ι τῇ 17ῃ ἑκατονταετίᾳ τὴν Βουλὴν τελευταῖος ἔκλεισεν, ἐκεφαλοτομήθη δέ...), ἄλλοι δὲ λέγουσιν ὅτι οἱ νόμοι τοῦτο ἐῶσιν.

τὸ δὴ Ἡνωμένον Βασίλειον δεήσει τὴν Ε.Ε. τῇ 31ῃ τοῦ Ὀκτωβρίου καταλιπεῖν· πολλοὶ μὲν φοβοῦνται μὴ αὕτη ἡ ἔξοδος ἄνευ συνθήκης γένηται, ἄλλοι δὲ τοῦτο οὕτω γενέσθαι προαιροῦνται.

Περὶ τῆς ἐν τῷ Χὸγκ Κὸγκ ταραχῆς

5 Σεπτεμβρίου 2019

Ἡ τοῦ Χὸγκ Κὸνγ ἄρχουσα, Κάρρι Λάμ, ἤγγειλε προχθὲς ὅτι τὸν νόμον ὑφαιρήσοι ὃς τοσούτων τε καὶ τοιούτων ταραγμάτων αἰτία γεγένηται, τὸν νόμον καθ' ὃν ἐξείη ἂν τῇ ἀρχῇ εἰς τὴν Σίναν πέμπειν ὅντινα πολίτην ἡ Σίνα ἀπαιτοίη.

πάντες διὰ τῆς τηλεοράσεως τὰς ἐν ταῖς τοῦ Χ.Κ. ἀγυιαῖς διαδηλώσεις καὶ τὰς ἐπὶ τοὺς φύλακας μάχας εἴδομεν, οὐ μόνον ἐν ταῖς ἀγυιαῖς ἀλλὰ καὶ ἔνδον τοῦ ὑπογείου σιδηροδρόμου (παραδείγματος ἕνεκα, ἔξεστι τοῦτο ἐν τούτῳ τῷ συνδέσμῳ θεᾶσθαι)·

πάντα ταῦτα μάλιστα τὴν πόλιν ἐτάραξεν, οὐ μὲν γὰρ ἐξῆν τοῖς πολίταις ἰέναι ὅποι βούλοιντο, ἔδει δὲ πολλὰ πωλητήρια κεκλεισμένα μένειν (ἄλλα τε καὶ ἃ ἐν τῷ τῆς πόλεως κέντρῳ κεῖται), κτλ. ἴσως ὃ ἐν τῷ ἀερολιμένι ἐγένετο χείριστον πάντων ἦν, ἐπεὶ γὰρ τοσοῦτοι διαδηλωταὶ τὸν ἀερολιμένα κατέλαβον ὥστε ἀναγκαῖον ἐγένετο αὐτὸν κλεῖσαι ἀδύνατον ἐγένετο πολλοῖς πολίταις οὐ μόνον τοῦ Χ.Κ. ἀλλὰ καὶ πάσης τῆς οἰκουμένης πορεύεσθαι, οὔτε ἐκ τοῦ ἀερολιμένος οὔτε ἀπὸ ἄλλων εἰς τοῦτον πέτεσθαι.

τοῦ νόμου ὑφαιρεθέντος, πολλοὶ ἐλπίζουσι τοὺς τοῦ Χ.Κ. πολίτας νῦν διαδηλοῦντας παύσεσθαι, ἀλλὰ ἴσως αὕτη ἡ ἐλπὶς κενή γενήσεται, οἱ γὰρ διαδηλωταὶ αὐτοὶ ἤδη εἰρήκασιν ὅτι οὐ μόνον τὸν νόμον ὑφαιρεθῆναι αἰτοῦσιν (ὃ ἤδη ἐκτήσαντο) ἀλλὰ καὶ αἰτοῦσι ψηφίζεσθαι δύνασθαι ὅντινα ἂν βούλωνται (νῦν ἡ τῆς Σίνας ἀρχὴ τοὺς τοῦ Χ.Κ. πολίτας μόνον τούτους ψηφίζεσθαι ἐᾷ οὕστινας ἂν ἡ ἀρχὴ αὐτὴ νομίζει ἀξίους εἶναι).

Ἐν τοῖς τῆς Βοσνίας μετάλλοις

11 Σεπτεμβρίου 2019

Διακόσιοι μεταλλεῖς οἳ ἐν τῇ Βοσνίᾳ ἐργάζονται ἄνθρακα ἐκφέροντες εἰς τρία μέταλλα χθὲς τῆς νυκτὸς εἰσβάντες ἐκεῖ μένουσι καὶ ἐν νῷ ἔχουσιν ἐντὸς τῶν μετάλλων μένειν οὐδὲν

ἐσθίοντες (ὃ ὡς ἐπὶ τὸ πολὺ “λιμοῦ ἀπεργία“ καλεῖται) ἕως ἂν τὸν μισθὸν δέχωνται ὃ οὐκέτι ἐδέξαντο· οἱ δὲ ἰατροὶ ἤδη ἓξ μεταλλέας τεθεραπεύκασιν.

τῇ Παρασκευῇ οἱ μεταλλεῖς ἐπαύσαντο ἐργαζόμενοι διότι τὸν μισθὸν τὸν τοῦ μηνὸς Αὐγούστου οὐκ ἐδέξαντο (ἡ ἐπιχείρησις ἣ ἐκεῖ μεταλλεύει πολλὰ χρήματα ὀφείλει), λέγουσι δὲ ὅτι πολλοῖς οὐκ ἐξῆν τὰ τέκνα εἰς τὸ διδασκαλεῖον πέμπειν ἅτε οὐ δυναμένοις τῷ διδασκαλείῳ ἀποτίνειν πρὶν ἂν τὰ μαθήματα ἄρχηται (ὃ νῦν τῷ Σεπτεμβρίῳ γίγνεται). ἡ τῶν μεταλλέων ἑταιρεία νῦν κοινὴν ἀπεργίαν τῇ 13ῃ Σεπτεμβρίου παρασκευάζει.

κατὰ τὸν τῆς Ἐνεργείας ὑπουργὸν τὰ ἀνθρακηρὰ μέταλλα οὐχ ὅπως χρήματα ἀποφέρει ἀλλὰ καὶ ἀποβάλλει, ὅμως δὲ ἔτι καὶ νῦν τετταρακαίδεκα ἀνθρακηρὰ μέταλλα ἐν τῇ Βοσνίᾳ ἀνεῳγμένα μένει, τῷ γὰρ ἄνθρακι χρῶνται ἵνα ἠλεκτρισμὸν γεννῶσιν.

Ἐπιβολὴ τοῖς διυλιστηρίοις

17 Σεπτεμβρίου 2019

δέκα δρόνων τοῖς ἐν τῇ Σαουδὶ Ἀραβίᾳ διυλεστηρίοις ἐπιθεμένων, τὸ τοῦ “μέλανος χρυσοῦ“ καλουμένου τίμημα μάλιστα ηὔξησεν· ὁπόθεν δὲ οἱ δρόνοι ἀφίκοντο οὐδεὶς ἀκριβῶς οἶδεν, ὁ μὲν γὰρ Μίκε Πομπέο, ὁ δεύτερος ἄρχων ἐν τῇ Ἀμερικανῇ ἀρχῇ, εἶπεν ὅτι τὸ Ἰρᾶν αἴτιόν εἴη τῆς ἐπιβολῆς, οἱ δὲ ἐν τῇ Ἰεμένῃ στασιῶται (οἷς τὸ Ἰρᾶν ἐπικουρεῖ) διαβεβαιοῦνται ὅτι αὐτοὶ τοῦτο ἐποίησαν· ὅμως δὲ κατὰ τὸν Πομπέο τεκμήριον μὲν οὐδὲν ἔχομεν τῆς τῶν Ἰεμενιτῶν στατιωτῶν αἰτίας, οὗτοι δὲ τῇ ἐπιβολῇ χρῆσθαι βούλονται νῦν ἵνα περὶ αὐτῶν πᾶσα ἡ οἰκουμένη ἀκούῃ. ὡς τὸ εἰκός, οἱ τοῦ Ἰρᾶν ἄρχοντες τὴν κατηγορίαν ἠρνήθησαν.

τῶν διυλιστηρίων ἐπιτεθέντων, τὸ τοῦ πετρελαίου γέννημα ταχέως ἐμειώθη, οὗ ἕνεκα τὸ τίμημα ἔτι θᾶττον ηὔξησεν, κατὰ δὲ τὸν φερέφωνον τὸν τῆς ἑταιρειὰς Aramco (τῆς μεγίστης πετρελαικῆς πάσης τῆς οἰκουμένης ἑταιρείας) δεήσει ἑβδομάδας πολλὰς μένειν ἕως ἂν τὰ διυλιστήρια αὖθις ἕτοιμα ᾖν τοσοῦτο πετρέλαιον γεννᾶν ὅσον τὸ πρότερον.

ὁ τῶν ΗΑΠ Τρᾶμπ πρόεδρος, φοβούμενος μὴ τὸ τίμημα συνεχῶς αὐξάνηται, εἴασε χθὲς τοῖς τοῦ ἐν ταῖς ΗΑΠ πετρελαίου ἀποθέτοις χρῆσθαι ἐὰν ἀναγκαῖον γίγνηται πρὸς ἄλλας χώρας πέμψαι.

Μὴ μεθύων ἔλαυνε

22 Σεπτεμβρίου 2019

Ὅ τι οἱ Ἄμις εἰσὶν οὐ πάντες ἴσασιν, ἀλλὰ πάντες ἴσασιν ὅτι οἵτινες ἂν μεθύοντες ἐλαύνωσι κατὰ τοὺς νόμους πράττουσιν. ἀλλὰ... ἐλαύνειν τί; ὡς ἐπὶ τὸ πολύ, ὁπόταν λέγωμεν "οὗτος ὁ ἀνὴρ μεθύων ἐλαύνει" εἰσέρχεται εἰς τὸν νοῦν ἡ εἰκὼν αὐτοκινήτου τινὸς ὡς τάχιστα τρέχοντος, ἀλλὰ τοσάκις τοῦτο γίγνεται ὥστε ἐὰν ἐν τῇ ἐφημερίδι ἀναγιγνώσκωμεν "οἱ φύλακες ἄνθρωπόν τινα ἐζημίωσαν ἅτε μεθυπλῆγα ἐλαύνοντα" οὐδεὶς θαυμάζει.

ὅμως δὲ νεωστὶ οἱ φύλακες ἐν τῷ Ὀχαίῳ (ΗΑΠ) δύο ἄνδρας ἔπαυσαν διότι μεθύοντες ἤλαυνον... ἅμαξαν. οὗτοι μὲν οἱ δύο ἄνδρες Ἄμις ὄντες τυγχάνουσιν, διὰ δὲ τοῦτο οὐκ ἔξεστιν αὐτοῖς αὐτοκίνητον οὐδὲν ἐλαύνειν, οἱ γὰρ τῆς Ἄμις ἑταιρείας νόμοι ἀναγκάζουσιν αὐτοὺς ἁπλοῦν τε βίον ἄγειν καὶ ἀπαγορεύονται νέοις μηχανήμασιν χρῆσθαι (αὐτοκινήτοις, τηλεοράσει, κτλ.). οἱ δύο ἄνδρες, ἐπεὶ πρῶτον οἱ φύλακες αὐτοὺς παύεσθαι ἐκέλευσαν, ἐκ τῆς ἁμάξης ἐκπηδήσαντες ἀπέφυγόν τε καὶ ἠφανίσθησαν, οὐδὲ τοῦ πρὸς τοὺς φύλακας φόβου ἕνεκα ἀλλὰ φοβούμενοι μὴ κόλασίν τινα παρὰ τῇ Ἄμις ἑταιρείᾳ δέχοιντο (ἀπαγορεύεται γὰρ τὸ μεθύειν) εἰ οἱ ἄλλοι περὶ τούτου ἀκούειεν. οἱ φύλακες τήν τε ἅμαξαν καὶ τὸν ἵππον λαβόντες κατέχουσιν, ἐλπίζουσι γὰρ τοὺς δύο ἄνδρας ἐπιφανεῖσθαι αὐτὰ ἀναλαβεῖν βουλομένους.

λέγεται δὲ ὅτι περὶ 200,000 Ἄμις ἐν ταῖς ΗΑΠ οἰκοῦσιν, οἱ δὲ πλεῖστοι ἐν τῇ Πεννσιλβανίᾳ καὶ τῷ Ὀχαίῳ καὶ τῇ Ἰνδιάνᾳ, γεωργοὶ δὲ καὶ δημιουργοί εἰσιν· πολλοὶ δὲ ἄνθρωποι περὶ αὐτῶν ᾔσθοντο τὸ κινηματογραφικὸν τοῦ Harrison Ford ἔργον "ὁ τελευταῖος μάρτυς" θεασάμενοι.

Τὸ τῆς Σαουδὶ Ἀραβίας βούλευμα "Vision 2030"

28 Σεπτεμβρίου 2019

Οἱ ἐν τέλει ἐν τῇ Σαουδὶ Ἀραβίᾳ τήμερον νέον βούλευμα, νέαν ἐπίνοιαν ὡς ἔπος εἰπεῖν, δημοσίᾳ ἤγγειλαν· τὸ "Vision 2030." τί δὲ τοῦτό ἐστιν;

ὡς πάντες ἴσμεν, ἡ Σαουδὶ Ἀραβία πλουσιωτάτη χώρα ἐστίν, τοσοῦτο γὰρ πετρέλαιον ὑπὸ τῆς χώρας κεῖται ὥστε δεῖ μόνον ὀρύττειν ἵνα ὁ μέλας χρυσὸς ὡς πηγὴ ἐκφύηται καὶ τὴν χώραν χρημάσι κατακλύζῃ. ὅμως δέ, καίπερ ταύτης τῆς χώρας οὐδαμῶς χρημάτων δεούσης, ὁ τοῦ βασιλέως υἱός, ὁ Μοχαμὴδ βὶν Σαλμάν, οὐ βούλεται τὴν τῆς χώρας οἰκονομίαν μόνον ἐκ τοῦ πετρέλαιον πωλεῖν ἐξαρτᾶσθαι, ἔδοξε δὲ αὐτῷ νέους κλάδους τῷ τῆς οἰκονομίας δένδρῳ δοῦναι.

κατὰ δὲ τοῦτο τὸ νέον βούλευμα "Vision 2030" δυνήσονται μὲν νῦν οἱ ἄλλων χωρῶν πολῖται ἐξουσίαν λαβεῖν ὡς περιηγηταί, εἰς γὰρ τὸ νῦν τοῖς ξένοις ἐξῆν μόνον διὰ ταύτης τῆς χώρας πορεύεσθαι εἰ ἐκεῖ ἐργάζοιντο, περὶ δὲ τῶν γυναικῶν γεγραμμένον ἐστὶ ἐν τούτῳ τῷ βουλεύματι ὅτι οὐ μὲν ἀναγκαῖον ἔσται αὐταῖς τῷ χιτῶνι χρῆσθαι τῷ πᾶν τὸ σῶμα καλύπτοντι, ὅμως δὲ δεήσει αὐτὰς εὐλαβέσιν ἐσθῆσι χρῆσθαι.

Τοῦτο τὸ βούλευμα μέρος ἐστὶ τοῦ μείζονος βουλεύματος ὃ ἐν ταύτῃ τῇ χώρᾳ παρασκευάζεται, τοῦ τὴν χώραν τοῖς ξένοις ἀνοιγνύναι, αὕτη δὲ ἡ ἀρχή ἐστιν, τὴν χώραν τοῖς περιηγηταῖς ἀνοιγνύναι.

Τετρακισχίλιοι ἄγνωστον στρατιώτην παραπέμπουσιν

3 Ὀκτωβρίου 2019

Δεῖ τήμερον περὶ τῆς ὠφελείας διαλέγεσθαι ἣν ἐνίοτε οἱ ἄνθρωποι ἀπροσδοκήτως ἄλλοις ἀνθρώποις παρέχουσι καίπερ ἀγνώστοις σφῖν οὖσιν.

ὁ Ἐδουάρδος Πέαρσων Ἀμερικανὸς πολίτης ἦν ὃς ἔνια ἔτη ἐστρατεύσατο, συγγενεῖς δὲ οὐκέτι αὐτῷ ἦσαν, πάντες γὰρ νεώτεροι ὄντες αὐτου ἤδη ἀπέθανον. τούτου τοῦ στρατιώτου νεωστὶ ἀποθανόντος (ἤδη ὀγδοήκοντα ἔτη γεγονότος), ὁ τοῦ κοιμητηρίου ἄρχων τοῦ ἐν τῇ Σαρασότᾳ (Φλορίδα), ἐκεῖ γὰρ ἔδει αὐτὸν θάψαι οὗ πολλοὶ στρατιῶται κεῖνται, τὰ ἐντάφια παρεσκεύαζεν, ἔδοξε δὲ αὐτῷ οὐδένα ἄνθρωπον τοῖς ἐνταφίοις παρέσεσθαι νομίζοντι ἄγγελμα ἐν τῇ τοῦ κοιμητηρίου ἠλεκτρονικῇ σελίδι εἰσθεῖναι ὃ ταχέως πολλοὶ ἄλλοι εἰς τὰ οὕτω καλουμένα “δμόσια δίκτυα“ ἔπεμψαν· ἐν δὲ τῷ ἀγγέλματι ἔγραψεν “οὗτος ὁ ἀπεστρατευμένος συγγενεῖς οὐκ ἔχει, πάντας δὲ μετ' εὐνοίας δεξόμεθα“.

τί δὲ ἐγένετο; τοῦ ἀγγέλματος ταχέως διὰ τῶν δικτύων διαπορευθέντος, τετρακισχίλιοι ἄνθρωποι οἳ οὔποτε τὸν Ε. Π. οὔτε ἔγνωσαν οὔτε εἶδον εἰς τὰ ἐντάφια ἦλθον, οὐ μόνων τῶν πέλας οἰκούντων ἀλλὰ καὶ ἔνιοι οὓς ἔδει δύο ὥρας ἐλαύνειν ἵνα τὸν Ε. Π. παραπέμποιεν· παραδείγματος δὲ ἕνεκα, ὁ Δάβιδ Σιέπερδ, στρατιώτης τις, εἶπε τοῖς δημοσιογράφοις “καὶ ἐγὼ ἀπεστρατευμένος εἰμί, οὐδένα δὲ ἀπολείπομεν· οὗτος δὲ (ὁ Ε.Π.) συγγενεῖς οὐ μὲν ἔχει, ἀληθῶς δὲ ἔχει.“

Ῥωσσικὴν δημοσιογράφον ἐν τῷ Ἰρᾶν κατέχουσιν

8 Ὀκτωβρίου 2019

Αὖθις πρεσβευτικὴν ἅμιλλαν ἔχομεν ἐν ἐκείνῳ τῷ τῆς Εὐρώπης μέρει οὗ πάντα ἔξεστιν ἰδεῖν τε καὶ εὑρεῖν πλὴν εἰρήνης, νῦν γὰρ τοῖς τοῦ Ἰρᾶν ἄρχουσιν οὐδὲν ἄλλο ποιεῖν βέλτιον ἔδοξεν ἢ Ῥωσσικήν τινα δημοσιογράφον κατέχειν τε καὶ ἐν φυλακῇ ἔχειν.

ἡ μὲν Ἰούλια Ἰοῦζικ, Ῥωσσικὴ δημοσιογράφος ἣν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα, εἰς τὴν Τεχεράνην ἀφίκετο ἰδίῳ πορεύματι (οὔτε γὰρ ἐφημερὶς οὐδεμία οὔτε ἡ Ῥωσσικὴ ἀρχὴ αὐτὴν ἔπεμψεν), ἤδη δὲ ἐν τῷ ἀερολιμένι οἱ Ἰράνιοι φύλακες αὐτὴν μὲν τοῦ διαβατηρίου ἀπεστέρησαν, εἴασαν δὲ ἐκ τοῦ ἀερολιμένος πρὸς τὴν πόλιν ἐξελθεῖν· ἔπειτα δέ, τριῶν ἡμερῶν ἐξελθουσῶν, αὐτὴν ἐν τῷ καταγωγίῳ κατασχόντες πρὸς στρατόπεδόν τι ἀπήνεγκον οὗ ἔτι καὶ νῦν κατέχουσιν.

ὁ δὲ τῆς Ἰρανίας ἀρχῆς φερέφωνος πρῶτον μὲν εἶπεν ὅτι ἡ Ι. Ι. κατάσκοπος εἴη, νεωστὶ δὲ εἶπεν ὅτι ἡ δημοσιογράφος κατάσκοπος μὲν οὐκ εἴη, τὸ δὲ διαβατήριον ἁμάρτημά τι ἔχοι (ὁποῖον οὐκ εἶπεν).

οὐδένα δὲ λανθάνει ἡ αἰτία πολιτικὴ ἅμιλλα οὖσα, οἱ οὖν ἐν τῷ Κρέμλιν μάλιστα ὀργισθέντες ταχέως τὸν Ἰράνιον πρεσβευτὴν εἰσεκάλεσαν ᾧ εἶπον μὲν ὅτι αὕτη ἡ κάθεξις παντελῶς ἀπρόσδεκτος εἴη, ἀπῄτησαν δὲ τὴν δημοσιογράφον ἀφεῖναι, οὐδὲ μόνον τοῦτο ἀλλὰ καὶ τὰ γεγενημένα ἀκριβῶς ἐξηγεῖσθαι, κατὰ γὰρ τὴν Ῥωσσικὴν ἀρχὴν τὸ μὲν τῆς Ι. Ι. διαβατήριον ὀρθόν ἐστιν, τὸ δὲ περὶ τοῦ ἁμαρτήματος κακὴ πρόφασις τυγχάνει ὄν.

Ὁ τάχιστος μαραθώνιος δρόμος

14 Ὀκτωβρίου 2019

ὁ Eliud Kipchoge ἐγένετο τῷ Σαββάτῳ ὁ πρῶτος ἄνθρωπος ὃς μαραθώνιον δρόμον ἔδραμεν ἧσσον δυοῖν ὥραιν χρώμενος· 1:59:40. τοῦτο τὸ ἀγώνισμα ἐν τῇ Αὐστρίᾳ ἐγένετο, ἐν τῇ πόλει Βιέννῃ. ὅμως δὲ ἡ Διεθνὴς Ἀθλητικὴ Ἑταιρεία εἶπεν ὅτι κατὰ τοὺς νόμους οὐκ ἐξέσοιτο τοῦτο τὸ ἐκβὰν ἐν τῷ καταλόγῳ εἰσγράφειν τε καὶ ὁμολογεῖν, πολλὰ γὰρ τὸν δρομέα ὠφέλησεν.

πρῶτον μὲν οὗτος ὁ δρόμος οὐκ ἦν ὅμοιος τοῖς ἄλλοις, μόνος γὰρ ὁ Ε.Κ. ἔδραμε καὶ ἄλλοι δρομεῖς, πάντες ἄριστοι δρομεῖς ὄντες, οἳ εἰς τοῦτο τὸ τέλος παρασκευασάμενοι ἠρέθησαν· οὗτοι δὲ οἱ ἐπίκουροι, τετταράκοντα ὄντες, ἀλλήλους διεδέχοντο καὶ πρὸ αὐτοῦ τρέχοντες καὶ τὸν ἄνεμον κωλύοντες ῥᾷον ἐποίησαν αὐτῷ τὸ τρέχειν.

ἔπειτα δὲ αὐτοκίνητόν τι πρὸ αὐτῶν πορευόμενον λάσηρ ἀκτῖνα ἐπὶ τοῦ ἐδάφους ἔβαλε καὶ ἔδειξεν αὐτῷ τὴν ταχύτητα ᾗ χρῆσθαι ἔδει ἵνα τὸν δρόμον ἐντὸς δυοῖν ὥραιν τελευτήσειεν· καὶ δὲ καὶ ὁ δρόμος διὰ παντελῶς ὁμαλῆς ὁδοῦ ἐγένετο ἵνα θᾶττον τρέχειν δύναιτο.

Περὶ τοῦ Βρέξιτ (ὃ προσδοκητὸν ἦν...)

20 Ὀκτωβρίου 2019

Αὖθις τὸ αὐτό, αὖθις ἡ μὲν αὐτὴ ἱστορία, ἡ δὲ αὐτὴ διήγησις, τὸ δὲ αὐτὸ ἀτελὲς μυθολόγημα· δίς, ὦ ἀναγιγνώσκοντες, ἐῶ ὑμᾶς τεκμαίρεσθαι πειρᾶν ὅ τι τοῦτό ἐστιν, ἀλλὰ οὕτω σοφοί ἐστε

ὥστε τῇ πρώτῃ πείρᾳ ἱκανὸν ὑμᾶς ἔσται. ναί, ὦ φίλοι ἀναγιγνώσκοντες, ἀκριβῶς ὅδε ἐστὶν ὃ ταχέως εἰς τὸν ὑμέτερον νοῦν ἀφῖκται· τὸ Βρέξιτ!

ὡς πάντες ἴσμεν, λόγῳ μὲν δέοι ἂν τὸ Ἡνωμένον Βασίλειον τὴν Εὐρωπαικὴν Ἕνωσιν τῇ 31ῃ ἡμέρᾳ τούτου τοῦ μηνὸς καταλιπεῖν, ἔργῳ δὲ ἴσως αὖθις αὕτη ἡ ἔξοδος ἀναβολὴν ἕξει. ἡ δὲ αἰτία; ὃ πάντες ἴσασιν, τὸ ἐρώτημα ὃ τοσάκις καθ' ἡμέραν πάντες ἀκηκόαμεν· δεῖ ἐκ τῆς Ε.Ε. μετὰ ἢ ἄνευ συνθήκης ἐξελθεῖν; ὁ μὲν οὖν τοῦ Η.Β. Πρωθυπουργὸς Βόρις Ἰόνσον, τῶν τῆς Ε.Ε. ἀρχόντων συνομολογησάντων, νέαν συνθήκην τῇ Βουλῇ προὔθηκεν, ἡ δὲ τὴν μὲν συνθήκην οὐκ ἔωσεν, ἐψηφίσατο δὲ νέον νόμον καθ' ὃν οὐκ ἔξεστι νῦν τὴν συνθήκην εὐθὺς δέχεσθαι.

καὶ δὴ καὶ πάντα ταῦτα τῷ Σαββάτῳ ἐγένετο, ὡς δὲ ἐπὶ τὸ πολὺ τῷ Σαββάτῳ οἱ Βρετανικοὶ βουλευταὶ οὐχ ἁθροίζονται (ἡ τελευταία Σαββάτῳ τινὶ συλλογὴ ἤδη πάλαι ἐγένετο, τῆς Μαργαρίτης Θάτσερ Πρωθυπουργοῦ οὔσης, διὰ τὸν ἐν ταῖς Φώκλανδ νήσοις πόλεμον).

τούτων οὕτως ἐχόντων, οὐκ ἔξεσται τῇ Βρετανικῇ Βουλῇ τὴν νέαν συνθήκην δέχεσθαι πρὶν ἂν ἡ προθεσμία ἡμέρα (ἡ 31η) ἀφίκηται, κατὰ δὲ τὸν τοῦ Πρωθυπουργοῦ φερέφωνον ἐπιστολὴ μὲν ἐπέμφθη χθὲς τῆς νυκτὸς ἐν ᾗ ὁ Β. Ἰόνσον τὴν Ε.Ε. δευτέραν ἀναβολὴν αἰτεῖ, κατὰ δὲ ταύτην τὴν αἴτησιν ἡ ἔξοδος (ἐάν ποτε γίγνηται...) τῇ 31ῃ τοῦ Ἰανουαρίου γένοιτο ἄν.

Λαθραία ἐμπορία ξύλου

25 Ὀκτωβρίου 2019

Πολλάκις ἐν ταῖς ἐφημερίσιν περὶ “λαθραίας ἐμπορίας“ ἀναγιγνώσκομεν, ὡς δὲ ἐπὶ τὸ πολὺ τοῦτο τὸ ἄγγελμα ἡμῖν ἀγγέλλει περὶ παρανόμου ἐμπορίας εἴτε ναρκωτικῶν εἴτε ὅπλων εἴτε ἀρχαίων θησαυρῶν κτλ. νεωστὶ δὲ ἐν τῷ Βρασῖλ οἱ ἄρχοντες ἑταιρείαν ηὗρόν τε καὶ

ἐξεκάλυψαν ἢ πολλὰ ἔτη λαθραίαν ἐμπορίαν πέπραχεν, οὐδαμῶς δὲ τοιούτων οἷα ναρκωτικὰ ἢ ὅπλα ἢ ἅτινα ἂν τιμιώτατα ᾖ ἀλλὰ... ξύλου. ἆρα τίμιόν ἐστι τὸ ξύλον; ὀλίγον μὲν ἴσως εὔωνόν ἐστιν, τὸ δὲ πλῆθος τίμιον.

οἱ ταύτης τῆς ἑταιρείας κοινωνοὶ ποικίλοι τυγχάνουσιν ὄντες, οἱ μὲν φύλακες, οἱ δὲ ἐπιχειρηματίαι, οἱ δὲ μόνον μοχθηροὶ παράνομοι κτλ., τῇ δὲ αὐτῇ τακτικῇ ἀεὶ ἐχρῶντο· πρῶτον μὲν τοῖς αὐτουργοῖς πολλὴν γῆν ἔχουσιν ἀπειλοῦντες ἠνάγκαζον τὴν γῆν πωλεῖν, ἔπειτα δὲ πάντα τὰ ἐν ἑκάστῃ μοίρᾳ δένδρα ἔκοπτόν τε καὶ ἄλλοις ἐπώλουν, πολλάκις δὴ ἔξω τῆς χώρας. κατὰ δὲ τὴν ὀργάνωσιν Human Rights Watch αὕτη ἡ παράνομος ἐμπορία αἰτία ἐστὶ (ἐπὶ πολλοῖς ἄλλοις) τῆς διαφθορᾶς τῆς Ἀμαζονικῆς ὕλης, οὐ μόνον τῆς περικοπῆς δένδρων ἀλλὰ καὶ πολλῶν ἐμπρήσεων (αἷς οὗτοι οἱ παράνομοι τούτους κολάζουσιν οἵτινες ἂν τὰς μοίρας πωλεῖν οὐ βούλωνται).

ἑκκαίδεκα ἄνθρωποι καθειργμένοι εἰσίν.

ὅμως δὲ τοῦτο μὲν τὸ ἄγγελμα ταχέως πολιτικὸν πρᾶγμα ἐγένετο, ὁ δὲ τοῦ Βρασῖλ πρόεδρος Βολσονάρο εἶπεν ὅτι ταῦτα περὶ τοιαύτης ἑταιρείας ψευδῆ εἴη. πότερον καὶ ἔνιοι πολιτικοὶ τούτου τοῦ παρανόμου πράγματος μετέχουσιν ἢ οὐκ οὔπω οὐδεὶς οἶδεν (ἴσως δὲ οὐδέποτε οὐδεὶς εἴσεται).

Ὁ Ποῦτιν εἰς τὴν Κοῦβαν πορευθήσεται

30 Ὀκτωβρίου 2019

Ὁ τῆς Ῥωσσίας πρόεδρος Βλαδίμιρ Ποῦτιν μέλλει πρὸς τὴν Κοῦβαν πορευθήσεσθαι, ἐν γὰρ νῷ ἔχει τὸν ἀρχαῖον ταύτῃ τῇ νήσῳ σύνδεσμον αὖθις καρτερεῖν. ὡς ἤδη ἴσμεν, τῆς σοβιετικῆς ἀρχῆς ἀκμαζούσης οἱ ἐν τῷ Κρεμλίνῳ ταύτην τὴν νῆσον μάλιστα ἐθεράπευον νομίζοντες

αὐτὴν εἶναι τὴν ἑαυτῶν χεῖρα πόρρω τεταμένην πρὸ τῶν ΗΑΠ αὐτῶν κειμένην (170 χιλιόμετρα ἀπέχει).

μετὰ τὴν οὕτω καλουμένην "περεστροῖκα," τῆς σοβιετικῆς ἀρχῆς διαφθαρείσης, οὗτος μὲν ὁ σύνδεσμος ὀλίγου δεῖν ἠφανίσθη, ἡ οὖν Κοῦβα "ἀπάτωρ" ἐγένετο, νῦν δὲ ὁ Ποῦτιν, τῆς Ῥωσσίας αὖθις μεγάλην ῥοπὴν ἐν τῇ οἰκουμένῃ ἐχούσης, βούλεται εἰς τοὐπίσω πορεύεσθαι καὶ τόν τε ἀρχαῖον σύνδεσμον καὶ τὴν ἀρχαίαν ἀρχὴν ἀναβιώσκεσθαι.

ἤδη δὲ πάλαι, τοῦ Ψυχροῦ Πολέμου μένοντος, ἡ Ῥωσσία ἐν τῇ Κούβᾳ ἀφορμὴν εἶχεν, ἐγγὺς τῆς Ἀβάνης κειμένην, ἀλλὰ τῷ 2001ῳ ἔτει, τοῦ Ποῦτιν νεωστὶ εἰς τὴν ἀρχὴν ἀφικομένου, ἡ Ῥωσσία ταύτην τὴν ἀφορμὴν ἀπολιποῦσα τῇ Κούβᾳ ἀπέδωκεν (τὸ τῆς ἀφορμῆς ὄνομα "Λοῦρδες" ἦν).

χθὲς μὲν ἐν τῇ Μόσχῃ ὁ τῆς νήσου πρόεδρος M. Díaz-Canel (ἐν τῇ φωτογραφίᾳ) τῷ Ποῦτιν συνελθὼν παρῄνησεν εἰς τὴν νῆσον ἰέναι, καὶ δὴ καὶ ὁ τῆς Ῥωσσίας πρωθυπουργὸς Dimitri Medvedev (οὗτος τυγχάνει δεύτερος ὢν ἐν τῇ ἀρχῇ μετὰ τὸν Ποῦτιν αὐτὸν) ἐν τῇ νήσῳ νεωστὶ παρῆν καὶ συνθήκας τινὰς αὐτοῖς ἐποιήσατο, νῦν δὲ ὁ Ποῦτιν, τὴν παράκλησιν ἄσμενος δεξάμενος, πειράσεται ἄλλας τε καὶ πολεμικὰς συνθήκας ποιεῖσθαι, ἀλλὰ οὐδὲν εἶπε περὶ τῆς ἀρχαίας ἀφορμῆς, καίπερ πολλῶν εἰπόντων ὅτι ἐν νῷ ἔχει ταύτην τὴν ἀφορμὴν αὖθις κτᾶσθαί τε καὶ ἀναβιώσκεσθαι.

Ἡ Νοτία Ἀφρικὴ τὸ παγκόσμιον τρόπαιον κτᾶται

5 Νοεμβρίου 2019

Ἡ Νοτία Ἀφρικὴ ἐγένετο νεωστὶ ἀρίστη τοῦ ῥᾶγβι ἀγέλη. αἱ βέλτισται τοῦ κόσμου ἀγέλαι εἰς τὴν Ἰαπωνίαν ἀφίκοντο ὡς τὸ Παγκόσμιον Κύπελλον κτησόμεναι, ἐδυνήθημεν δὲ διὰ τῆς

τηλεοράσεως τοιαύτας βελτίστας ἀγέλας θεᾶσθαι ἀλλήλαις ἀγωνιζομένας τε καὶ τὸ τρόπαιον ἐπιθυμούσας· τέλος δέ, τῆς Ἀγγλίας καὶ τῆς Νοτίας Ἀφρικῆς εἰς τὸν τελευταῖον ἀγῶνα ἀφικομένων, ἐξῆν τοῖς θεαταῖς τοῖς ἱκανῶς εὐτυχέσιν οὖσιν ὥστε ἐκεῖ παρεῖναι καὶ ἐκείνοις οὓς τηλόθεν ἐδέησε θεᾶσθαι ἀρίστου ἀγῶνος ἀπολαύειν.

περὶ τῆς νικησάσης Νοτίας Ἀφρικῆς πολλὰ εἶπον οἱ δημοσιογράφοι, ἀλλὰ ἴσως μᾶλλον ἢ περὶ τοῦ ὑπογυίου ἀγῶνος αὐτοῦ περὶ τοῦ τῷ 1995ῳ ἔτει ἀγῶνος διελέχθησαν, αὕτη γὰρ ἡ νίκη οὐ μόνον ἀθλητικὴ νίκη γεγένηται ἀλλὰ καὶ πολιτική, ἡ δὲ αἰτία πολλοὶ ἴσασιν. ἀλλὰ... τί ἐκείνῳ τῷ ἤδη πόρρω κειμένῳ ἔτει ἐγένετο;

τῷ 1995ῳ ἔτει τοῦτο μὲν τὸ παγκόσμιον ἀγώνισμα ἐν τῇ Ν. Ἀφρικῇ αὐτῇ ἐγένετο, τοῦ δὲ πολιτικοῦ συστήματος Apartheid καλουμένου νεωστὶ ἐκβληθέντος καὶ τῆς χώρας νέαν δημοκρατικὴν πολιτείαν ἐχούσης ἔδει τὸν νέον πρόεδρον, Νέλσων Μανδέλα, μέθοδον εὑρεῖν ἣ πάντας τοὺς πολίτας συνδέοι τε καὶ ταῖς διαστάσεσι τέλος θείη· τῆς δὲ δημοσίας ἀγέλης εἰκότα καιρὸν παρασχούσης, ὁ Ν. Μ. ἔπεισε πάντας τοὺς πολίτας τῇ ἀγέλῃ ἐπικουρεῖν ὡς κοινῇ οὔσῃ καὶ εἰ αὕτη ἡ ἀγέλη αὐτὴ σύμβολον τοῦ προτεραίου Apartheid συστήματος ἐγεγένητο, τὸ δὲ βούλευμα εὐτύχησε καὶ ἡ τῆς Ν. Ἀφρικῆς ἀγέλη τὸ τρόπαιον ἠνέγκετο.

ἴσως πολλοὶ ὑμῶν εἴδετε τὸ κινηματογραφικὸν ἔργον Invictus καλούμενον (ὁ Clint Eastwood τούτῳ τῷ ἔργῳ ἡγήσατο) ἐν ᾧ ἔξεστι πᾶσαν ταύτην τὴν ἱστορίαν ἐπιτηρεῖν.

Ἤδη τριάκοντα ἔτη ἄνευ τοῦ τείχους

10 Νοεμβρίου 2019

Νεωστὶ εἶπέ μοι φίλος τις ἐκ τῆς Γερμανίας ἐπανελθὼν ὅτι ἐὰν Γερμανὸν παῖδα ἐρωτᾷς ὅ τι περὶ τοῦ τείχους νομίζει, οὗτος ἀποκρινεῖται ἐρωτῶν αὐτὸς “τί τεῖχος λέγεις“; καὶ εἰ τοῦτο

παράδοξον εἶναι δοκεῖ, ἀληθές ἐστιν· οἱ πλεῖστοι τῶν νῦν Γερμάνων νεανιῶν οὐκ ἴσασιν ὅ τι “τὸ τεῖχος“ ἦν.

τὸ μὲν τεῖχος τὴν πόλιν Βερολῖνον ὀκτὼ καὶ εἴκοσι ἔτη σχίζον σύμβολον τοῦ “Ψυχροῦ Πολέμου“ ἐγένετο, πολλοὶ δὲ ἄνθρωποι διαβαίνειν πειρώμενοι ἀπέθανον· τὸν μὲν τῶν ἀποθανόντων ἀκριβῆ ἀριθμὸν οὐκ ἴσμεν, λέγεται δὲ ὅτι ἑκατὸν μὲν εἴκοσι πέντε ἀπέθανον, ἄλλοι δὲ πολλοὶ ἐτρώθησαν καὶ μυρίοι ὑπὸ τῶν φυλάκων πρὶν διαβαίνειν κατεσχέθησαν, πεντακισχίλιοι δὲ εὐτυχῶς τοὺς φύλακας ἔλαθον καὶ διέβησαν· πάντες τῷ ἑσπερίῳ τῆς πόλεως μέρει τὸ ὄνομα “ἡ ἐν τῇ Ἐρυθρᾷ Θαλάττῃ νῆσος“ ἐπέθεσαν.

τὸ τεῖχος τῇ 9ῃ Νοεμβρίου τοῦ 1989ου ἔτους ἠφανίσθη, ἡ δὲ αἰτία θαυμαστή ἐστιν, τοῦτο γὰρ κατὰ τύχην ἐγένετο· Ἴταλος μὲν δημοσιογράφος Γερμανὸν στρατηγὸν (τῆς Ἀνατολικῆς Γερμανίας) ἤρετο ὁπότε ἐν νῷ ἔχοιεν τοὺς πολίτας ἐκ τῆς χώρας ἐκπορεύεσθαι, ὁ δὲ στρατηγὸς σφαλλόμενος ὅτι “αὐτίκα“ ἀπεκρίνατο· αὕτη δὲ ἡ ἀπόκρισις ταχέως εἰς τὸ Βερολῖνον ἀφίκετο, τό τε Ἑσπέριον καὶ τὸ Ἀνατολικόν, ὃ ἀκούσαντες οἱ πολῖται κατὰ πλῆθος πρὸς τὸ τεῖχος ἀμφοτέρωθεν ἔρρευσαν, πρῶτον μὲν πρὸς αὐτό, ἔπειτα δὲ ἐπὶ αὐτοῦ, πάντες γὰρ τῆς ὄψεως μεμνήμεθα τῶν νεανιῶν ἐπὶ τοῦ τείχους ἑστηκότων καὶ ἐπιπηδώντων.

οἱ μὲν τῆς Ἀνατολικῆς Γερμανίας ἄρχοντες, ἄφρακτοί τε καὶ ἀπροσδοκήτῳ τινὶ ἐπιθέμενοι καὶ οὐκ εἰδότες ὅ τι ποιεῖν δέοι, ἐκέλευσαν τὰς πύλας ἀνοῖξαι, ὃ δὲ ἔπειτα ἐγένετο ἤδη ἴσμεν· οἱ ἀμφοτέρωθεν νεανίαι, σφύρας τε καὶ ἄττα ἔχοντες τύχοιεν λαβόντες, τὸ τεῖχος διέφθειραν, νῦν δὲ μόνον μικρὸν μέρος μένει ὃ τοῖς πολίταις ἐκεῖ ὡς μνημεῖον καταλιπειν ἔδοξεν.

Πέντε Παλαιστίνοι ἐν τῇ Γάζῃ ἀποθνῄσκουσιν

16 Νοεμβρίου 2019

Ἄρχοντός τινος τῆς Ἰσλαμικῆς Ἰχὰδ ὑπὸ τῶν Ἰσραηλινῶν ἀποθανόντος, ἡ ἐν τῇ Γάζῃ κατάστασις χείρων γεγένηται, οἱ μὲν γὰρ ἐν τῇ Γάζῃ Παλαιστίνοι αὖθις πύραυλα πρὸς τὸ Ἰσραῆλ ἀνεῖσαν, ὁ δὲ Ἰσραηλινὸς στρατὸς αὖθις τὸ κράσπεδον βομβαρδίσας πέντε Παλαιστίνους ἀπέκτεινεν.

λέγοις ἂν ὅτι ταῖς τελευταίαις ἑβδομάσιν ἡ ἐν τῷ κρασπέδῳ κατάστασις, καὶ εἰ ἐκεῖ πάντες ἤδη πάλαι ἐπελάθοντο ὅ τι ὁ λόγος "εἰρήνη" σημαίνοι, ἐν ἀποδεκτῷ ἡσυχίᾳ ἦν, ἀλλὰ τούτου τοῦ τῆς Ἰχὰδ ἄρχοντος ἀποθανόντος πάντα εἰς τὰ πρότερα ἐπανῆλθεν.

τὸ τούτου τοῦ ἀνδρὸς ὄνομα Βάχαα ἀλ Ἄτα ἦν, ἀπέθανε δὲ τῇ προσβολῇ ἣν κατὰ τοὺς Ἰσλαμιστὰς ὁ Νεταιάχου αὐτὸς ἐπῄνεσεν (ὃς εἶπεν ὅτι ὁ Β. Α. πρὸς τὸ Ἰσραῆλ προσβολὰς παρασκευάζοι)· ὁ μὲν Β. Α. αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ ἐν τῇ ἑαυτῶν οἰκίᾳ ἀπέθανον, ἐν τῇ πόλει Γάζῃ, ἡ δὲ ἑταιρεία Ἰσλαμικὴ Ἰχὰδ ὑπέσχετο τούτῳ τιμωρήσειν.

ὅ τι τότε ἐγένετο ἤδη ἴσμεν· διακόσια μὲν καὶ εἴκοσι πύραυλα ἀπὸ τῆς Γάζης τῆς ἐπιγιγνομένης ἡμέρας ἀνείθη, τὰ δὲ Ἰσραηλινὰ ἀεροσκάφη μέρεσι τοῦ κρασπέδου ἐπέθετο, πέντε δὲ ἄλλοι Παλαιστίνοι ἀπέθανον. τῶν δὲ πυραύλων τὰ πλεῖστα ὑπὸ τῶν Ἰσραηλινῶν διεφθάρη πρὶν εἰς τὴν γῆν ἀφίκεσθαι, ἡ δὲ πύλη δι' ἧς διαβαίνειν δεῖ τοῖς εἰς τὴν Γάζαν εἰσιέναι ἢ ἐξ αὐτῆς ἐξιέναι βουλομένοις κεκλεισμένη μένει, ὃ χείρονα τὴν ἐν τῷ κρασπέδῳ κατάστασιν ποιεῖ τοῖς ἐκεῖ οἰκοῦσιν.

Ταραχὴ ἐν τῷ Ἰρᾶν

21 Νοεμβρίου 2019

Αὖθις δεῖ περὶ τῆς ἐν τῷ Ἰρᾶν καταστάσεως καὶ τῆς ταραχῆς γράφειν, ἑκατὸν γὰρ ἓξ ἄνθρωποι ἀπέθανον τῷ τῶν ἀρχόντων βουλεύματι ἀνθιστάμενοι ὃ τὸ τῆς βενζίνης τίμημα αὐξάνει, ὃ

οὐδαμῶς θαυμάζειν δέοι ἂν διότι τοῦτο οὐδὲν νέον ἐστίν, συνεχῶς γὰρ νέαν αὔξησιν πάσχομεν ἣν ἀνεξικάκως δεχόμεθα· ὅμως δὲ ἡ νῦν ταραχὴ τοιαύτη ἐγένετο διότι νῦν ἔδοξε τοῖς τοῦ Ἰρᾶν ἄρχουσιν ἐξαίφνης τὸ τίμημα οὐ μόνον αὐξάνειν ἀλλὰ διπλοῦν· ναί, διπλοῦν λέγομεν, διπλασιάζειν, διπλάζειν.

τοῦ τῆς αὐξήσεως ἀγγέλματος εἰς τοὺς πολίτας ἀφικομένου, ἡ ταραχὴ ὁμοῦ ἐν πολλαῖς πόλεσιν ἤρξατο, κατὰ δὲ τοὺς ξένους κατασκόπους οἳ τυγχάνουσιν ἐκεῖ παρόντες ἑκατὸν ἓξ ἄνθρωποι ἀπέθανον ἐξ οὗ τοῦτο ἤρξατο, ἀλλὰ οὐκ ἔξεστιν ἀκριβῶς τὸν τῶν ἀποθανόντων ἀριθμὸν εἰδέναι, οἱ γὰρ ἐν τέλει τὸ διαδίκτυον ἔτεμον καὶ τὰ ἀγγέλματα ἃ διὰ τῶν ἐφημερίδων ἀφικνεῖται οὐ πιστευτά ἐστιν.

οἱ ἄρχοντες ὑπώπτευον τοῦτο τὸ βούλευμα τοὺς πολίτας ταράξειν, ταῦτα δὲ τὰ δυστυχήματα οὐκ ἀπροσδόκητα ἥκει, ἀλλὰ εἶπον ὅτι, καίπερ ἀπεχθὲς ὄν, τὸ βούλευμα τοὺς πένητας πολίτας ὠφελήσοι, πλείονα γὰρ χρήματα δημοσίᾳ ὑπάρξοι οἷς ἡ ἀρχὴ χρῆσθαι δυνήσοιτο ἵνα οἱ πένητες ὠφέλειαν δέχοιντο (τῶν 83 ἑκατομμυρίων πολιτῶν, 60 ἑκατομμύρια δημοσίαν ὠφέλειαν δέχονται)· ὅμως δὲ οἱ πολῖται ταύτας τὰς ἐξηγήσεις δέξασθαι οὐ δοκοῦσιν, πολλαὶ δὲ τράπεζαι καὶ καπηλεῖα καὶ σκηναὶ ἐπρήσθησαν.

οἱ ἐν τέλει λέγουσι νῦν ὅτι τῷ διαδικτύῳ αὖθις χρῆσθαι ἐάσουσιν ὁπόταν οἱ πολῖται αὐτῷ ὀρθῶς χρῶνται (ὅ τι "ὀρθῶς χρῆσθαι" σημαίνοι οὐκ εἶπον...).

Περὶ τοῦ τῆς Δάφνης Καρουάνα φόνου

26 Νοεμβρίου 2019

Ὡς ἐπὶ τὸ πολύ, ὁπόταν περὶ τῆς νήσου Μάλτης διαλεγόμεθα ἢ ἀναγιγνώσκομεν, τὸ εἶδος τὸ θαυμασίων αἰγιαλῶν καὶ τῆς καλλίστης θαλάττης εἰς τὸν νοῦν ἀφικνεῖται, ἀλλὰ ἴσως οὐ πάντα

τὰ ἐν ἐκείνῃ τῇ νήσῳ οὕτω βέλτιστά ἐστιν, τήμερον γὰρ ἐν ταῖς ἐφημερίσιν ἄγγελμα ἀναγιγώσκειν δυνάμεθα ὃ ἡμᾶς ἐπιλαθέσθαι ἀναγκάζει ἐκείνης τῆς χαριέσσης εἰκόνος.

ἴσως γὰρ πολλοὶ ὑμῶν τοῦ τῆς δημοσιογράφου Δάφνης Καρουάνα (ἐν τῇ φωτογραφίᾳ) φόνου μέμνησθε· αὕτη μὲν ἡ δημοσιογράφος, πεντήκοντα τρία ἔτη γεγονυῖα, τῇ 16ῃ Ὀκτωβρίου τοῦ 2017ου ἔτους βόμβης ἕνεκα ἀπέθανεν ὑπὸ ἀγνώστου τινὸς ἐν τῷ αὐτοκινήτῳ τεθείσης, ἐγγὺς τῆς οἰκίας αὐτῆς, ἐν τῇ πόλει La Valeta (τῇ τῆς Μάλτης πρωτευούσῃ), τοῦτο δὲ μάλιστα οὐ μόνον τοὺς ἐκείνης τῆς χώρας ἀλλὰ καὶ πολλοὺς ἄλλων χωρῶν πολίτας ἐτάραξεν· ὅμως δέ, οὐδενὸς ὑπόπτου ὄντος, τὸ πρᾶγμα ταχέως πάντες ἐπελάθοντο.

τῇ μὲν προτεραίᾳ ἑβδομάδι οἱ φύλακες ἄνδρα κατέσχον ὃς (κατὰ τοὺς φύλακας) τοῦτον τὸν φόνον ἐκέλευσεν, τήμερον δὲ δύο ταύτης τῆς χώρας ὑπουργοὶ τῆς ἀρχῆς ἐξέστησαν, ὅ τε τοῦ Τουρισμοῦ καὶ ὁ τῆς Οἰκονομίας, λέγεται γὰρ ὅτι οὗτοι οἱ δύο ὑπουργοὶ δεσμόν τινα εἶχον τῷ καθειργθέντι ἀνδρί· κατὰ δὲ τὴν ἐφημερίδα Times of Malta, εἰδέναι οὐ δυνάμεθα πότερον οἱ δύο ὑπουργοὶ τῆς ἀρχῆς ἑκόντες ἐξέστησαν ἢ ὑπὸ τοῦ προέδρου ἠγαγκάσθησαν.

τίς δ' ἐστὶν ὁ καθειργμένος ἀνήρ; τὸ ὄνομα Yorgen Fenech ἐστιν, ἀνήρ τις τῶν ἐνδοξοτάτων τῆς νήσου ἐπιχειρηματιῶν, ὃν οἱ φύλακες τῇ προτεραίᾳ ἑβδομάδι ἐν τῇ ἑαυτοῦ νηὶ κατέσχον· οὗτος δὲ ὁ ἀνὴρ δεσπότης ἐστὶ τοῦ 17 Black ἐπιχειρήματος καὶ τῆς ἠλεκτρικῆς τῆς Μάλτης ἑταιρείας, περὶ ἧς ἡ Δάφνη Καρουάνα ἐξήταζε πρὶν ἀποθανεῖν.

Τρομοκρατικὴ προσβολὴ ἐν τῷ Λονδίνῳ

1 Δεκεμβρίου 2019



Προχθὲς ἐν τῷ Λονδίνῳ τρομοκράτης τις (ἐν τῇ φωτογραφίᾳ) ὃν πέρυσι ἐκ τοῦ δεσμωτηρίου ἀφεῖσαν πέντε ἀνθρώποις ἐπέθετο μαχαίρᾳ χρώμενος, ὧν δύο ἀπέθανον.

κατὰ δὲ τοὺς μάρτυρας, ὁ μὲν τρομοκράτης μετεῖχε συλλογῆς τινος γιγνομένης ἐν οἰκήματι ἐγγὺς κειμένῳ τῆς οὕτω καλουμένης “Γεφύρας τοῦ Λονδίνου“, ἐξαίφνης δὲ ἄνευ λόγου τοῖς ἄλλοις μετέχουσιν ἐπέθετο οἳ ἔτυχον ἐκεῖ παρόντες, ὧν πέντε ἔτρωσεν· ἐκ δὲ τοῦ οἰκήματος ἐκφυγὼν καὶ παρὰ τὴν γέφυραν τρέχων ἐπειράσατο καὶ τοὺς ἐκεῖ παρόντας τιτρώσκειν, ἀλλὰ ἔνιοι τῶν πολιτῶν τὰ γιγνόμενα αἰσθόμενοι αὐτὸν βίᾳ κατεῖχον ἕως οἱ φύλακες ἀφίκοντο, οἳ πρὸς αὐτὸν ἐπυροβόλησαν, προσεποιεῖτο γὰρ ζώνην βόμβας ἔχουσαν φέρειν. ὁ μὲν τρομοκράτης ἐκεῖ ἀπέθανεν, τῶν δὲ πέντε τρωθέντων δύο ἐν τῷ νοσοκομείῳ ἀπέθανον.

τὸ δὲ τοῦ τρομοκράτου ὄνομα Usman Khan ἐστίν· οὗτος ὁ ἀνήρ, εἴκοσι ὀκτὼ ἔτη γεγονώς, τῷ μὲν 2012ῳ ἔτει κατεγνώσθη ἅτε πειρασάμενος βόμβῃ οἴκημά τι ἐν τῷ Λονδίνῳ διαφθείρειν, ἔπειτα δὲ ἐκ τοῦ δεσμωτηρίου ἀφείθη, ἐδέξατο γὰρ ἠλεκτρονικὸν ψέλιον ἔχειν ἀεὶ τοῖς φύλαξι δεικνὺν ὅπου εἴη. κατὰ δὲ τοὺς φύλακας, ὁ Usman Khan ἔτι μὲν ἐν τῷ δεσμωτηρίῳ κείμενος πολλάκις ᾔτησε προγράμματος μετέχειν δι' οὗ ἐξείῃ αὐτῷ τήν τε τρομοκρατίαν καὶ τὸν τοῦ ἄλλους βλάπτειν πόθον ἀπολιπεῖν, διὰ δὲ τοῦτο ἐκείνῃ τῇ συλλογῇ παρῆν, τοιαύτη γὰρ συλλογὴ ἦν οὗ ἔδει τοὺς μετέχοντας περὶ τοῦδε διαλέγεσθαι, ὅπως ἔξεστι τοῖς τὴν τρομοκρατίαν ἀπολιπεῖν βουλομένοις τοῦτο κτᾶσθαι.

νῦν δὲ ὁ λόγος τόδε ἐστίν, ὅ τι δεῖ ποιεῖν περὶ τῶν τρομοκρατῶν δι' ὀλίγου ἐκ τοῦ δεσμωτηρίου ἀφεθήσεσθαι μελλόντων.

Ὁ τῶν ΗΑΠ πρόεδρος δικασθήσεται

6 Δεκεμβρίου 2019

τῷ Donald Trump ἔνδοξον εἶναι μάλιστα ἀρέσκει, οὐ μόνον διότι πρόεδρος τῶν ΗΑΠ ἐστὶν ἀλλὰ καὶ διότι ὁπόταν εἴτε νεόν νόμον προτιθῇ εἴτε περὶ τῆς τοῦ κόσμου καταστάσεως λέγῃ πάντες θορυβοῦσιν.

τούτων οὕτως ἐχόντων, ἴσως νῦν ὁ Trump μάλιστα χαίρει καὶ ἄσμενός ἐστιν, ἡ γὰρ τύχη αὐτῷ ἄριστον καιρὸν παρέχει εἰς τὸ ἐνδοξότατον γενέσθαι, μέρος γὰρ τῆς Ἀμερικανῆς βουλῆς πειρᾷ αὐτὸν ἀπὸ τῆς ἀρχῆς ἀποστῆναι ἀναγκάζειν ἅτε ἀδικήματά τινα ἀδικήσαντα, ὃ ἐκεῖ κατὰ τὴν πολιτικὴν γλῶτταν "impeachment" καλοῦσιν· ἡ οὖν τῆς βουλῆς πρόεδρος Nancy Pelosi ἤγγειλε νεωστὶ ὅτι ἡ βουλὴ ἤδη τὴν κατὰ τοῦ προέδρου γραφὴν γράφοι.

τί δὴ τὸ πρότερον; ὁ Trump τρίτος γενέσηται τῶν ΗΑΠ πρόεδρος ὃς τοιαύτην γραφὴν πάσχει, δύο γὰρ ἄλλοι πρόεδροι, ὅ τε Andrew Johnson (περὶ οὗ οὐ πολλοί τι ἀκηκόασιν) καὶ ὁ Bill Clinton (περὶ οὗ οἱ πλεῖστοι ἀκηκόαμεν), τοιαύτην γραφὴν ἔπαθον, καὶ εἰ οἱ δύο ἀπέφυγον· ὁ δὲ Richard Nixon, εἰς δίκην ὑπάχθησθαι μέλλων, ἑκὼν πρὶν δικάζεσθαι ἐκ τῆς ἀρχῆς ἐξέστη.

τί δὴ ὁ πρόεδρος αὐτὸς περὶ τούτου λέγει; οὐδαμῶς μὲν φροντίζειν δοκεῖ καί, πῶς γὰρ οὔ, διαβεβαιοῦται ὅτι ταῦτα ψευδῆ ἐστιν, βούλεται δὲ ταύτην τὴν κρίσιν ὡς τάχιστα γενέσθαι καὶ τελευτᾶν ἵνα ἡ χώρα πρὸς τὴν προτέραν δίαιταν ἐπανέλθῃ· ἴσως δὲ λέγοις ἂν "ἀλλὰ ὁ Trump οὐ φοβεῖται μὴ καταγνωσθῇ;" οὐδαμῶς, ἀκριβῶς γὰρ ἐπίσταται ὅτι τὴν γραφὴν φεύξεται, ὃ εἰκότως γενήσεται, κατὰ γὰρ τοὺς τῆς βουλῆς νόμους ἐὰν μὴ δύο τῶν τριῶν τῆς βουλῆς μερῶν τῇ γραφῇ ἐπικουρῶσιν οὐκ ἔξεστι τὸν πρόεδρον ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν.

Διπλωματικὴ ἅμιλλα

12 Δεκεμβρίου 2019

Ἱστόρηται ὅτι ἡ Γερμανία καὶ ἡ Ρωσία οὔποτε φίλταται ἐγένοντο, ὃ πάντες ἴσασιν, τοῦτο δὴ οὐδένα οὔποτε ἔλαθεν καὶ οὐκ ἀνάγκη ἐστὶν τῆς ἱστορίας πολυμαθὴς εἶναι τούτῳ ὅστις ἂν βούληται περὶ τούτων τῶν χωρῶν εἰδέναι· νῦν δὴ νέον ταύτης τῆς φιλονεικίας μέρος ἥ τε Merkel καὶ ὁ Putin παρέχουσιν, νέα γὰρ διπλωματικὴ ἅμιλλα τήμερον ἐγένετο.

ἡ ταύτης τῆς νέας ἁμίλλης ἀρχὴ τῷ μηνὶ Αὐγούστῳ κεῖται, ἐν τῇ Γερμανικῇ πρωτευούσῃ Βερολίνῳ· ὁ Zelimjan Jangoshvili, πολίτης τῆς Γεωργίας, ἐν τῷ Βερολίνῳ ὑπὸ ἀνθρώπου τινὸς Ρωσικοῦ ἀπέθανεν ὃς αὐτὸν τῆς νυκτὸς κατὰ τὴν κεφαλὴν δὶς ἐπυροβόλησεν· νῦν δέ, ἤδη τεττάρων μηνῶν διελθόντων, οἱ φύλακες ᾔσθοντο τὸν φονέα ψευδὲς διαβατήριον ἔχοντα, ὃ νῦν οὐδεὶς ἂν θαυμάζοι, ἀλλὰ ᾔσθοντο καὶ τοῦτο τὸ διαβατήριον ὑπὸ τῆς Ῥωσικῆς Πρεσβείας δοθέν (δεῖ λέγειν ὅτι ἡ μὲν Ῥωσικὴ ἀρχὴ τὸ πρότερον τὴν Γερμανικὴν ἀρχὴν ᾔτησε τὸν Z. J. κατέχειν τε καὶ εἰς τὴν Ῥωσίαν πέμψαι, ἡ δὲ Γερμανικὴ ἀρχὴ ἠρνήθη).

κατὰ τὴν Γερμανικὴν ἀρχὴν ἡ Ῥωσικὴ ἀρχὴ τοῦτον τὸν ἄνδρα (τὸν φονέα) ἔπεμψεν ἵνα τὸν Z. J. ἐν τῇ Γερμανίᾳ αὐτῇ ἀποκτείνειεν, ἀλλὰ ἡ Ῥωσσία τὸ ἔγκλημα ἀρνεῖται.

τούτου μὲν περὶ τοῦ ψευδοῦς διαβατηρίου νεωστὶ εὑρεθέντος, ἔδοξε τῇ Γερμανικῇ ἀρχῇ τῇ προτεραίᾳ ἑβδομάδι δύο τῆς Ῥωσικῆς Πρεσβείας διπλωμάτας ἐκ τῆς χώρας ἐκβαλεῖν, τήμερον δὲ ἤγγειλεν ἡ Ῥωσικὴ ἀρχὴ ὅτι το μὲν αὐτὸ ποιήσοι, δεήσοι δὲ δύο διπλωμάτας τὴν ἐν τῇ Ῥωσσίᾳ Γερμανικὴν Πρεσβείαν καταλιπεῖν· ἤδη ἴσμεν ὅπως οὗτος ὁ "διπλωματικὸς νόμος" πράττει· εἰ ἡ Γερμανία ἑπτὰ διπλωμάτας ἐξέβαλεν, νῦν ἡ Ῥωσία καὶ ἑπτὰ διπλωμάτας τὴν χώραν καταλιπεῖν ἐκέλευσεν ἄν, εἰ πεντεκαίδεκα, πεντεκαίδεκα ἄν, κτλ.

Ἀρχαιρεσίαι ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ

17 Δεκεμβρίου 2019

Τῇ προτεραίᾳ ἑβδομάδι ἀρχαιρεσίαι ἐγένοντο ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ, πάντες δὲ τὸν αὐτὸν λόγον ἐν τῷ στόματι εἶχον, “Βρέξιτ“ (πῶς γὰρ οὔ), ἄλλοι μὲν γὰρ τῶν εἰς ἀρχὴν παραγγελλόντων συνεβούλευον τὸ Βρέξιτ ἐπιτελεῖν (τὴν Εὐρωπαικὴν Ἕνωσιν καταλιπεῖν), ἄλλοι δὲ ἐντὸς τῆς Ε.Ε. μένειν. ὁ μὲν τῶν τὴν Ε. Ε. καταλιπεῖν βουλομένων τὴν τάξιν ἔχων, ὁ πρόμαχος, ὁ Boris Johnson ἦν, ἄλλοι δὲ βουλευταί, καίπερ οὐ πάντες τοῦ αὐτοῦ πολιτικοῦ κόμματος μετέχοντες, τὸ ἐναντίον προὐτίθεσαν. τὸ δὲ τῶν ἀρχαιρεσιῶν ἀποβὰν ἤδη ἴσμεν· ὁ B. J. παντελῶς ἐνίκησεν, ἔχοντι οὖν νῦν τοὺς πλείστους τοὺς τῶν βουλευτῶν ῥᾴδιον ἔσται αὐτῷ τὸ Βρέξιτ ἐπιτελεῖν. δῆλοι δή εἰσιν οἱ Βρετανικοὶ πολῖται τὴν Ε. Ε. καταλιπεῖν βουλόμενοι, οἵτινες δὲ δευτέραν δημοσίαν ἐρώτησιν βούλοιντο εἶδον ταύτην τὴν ἐλπίδα τεθραυσμένην.

τί δὴ νῦν γενήσεται; οὐκέτι διακριτέον ἐστὶ πότερον δεῖ τὸ τὴν Ε. Ε. καταλιπεῖν ἢ οὔ, νῦν γὰρ διακριτέον ἐστὶ πότερον δεῖ τὴν Ε. Ε. συνθήκην αὐτῇ ποιησαμένους καταλιπεῖν ἢ οὐ ποιησαμένους· καὶ δὴ καὶ δεύτερον ἐρώτημα ἐν τοῖς γόνασι κεῖται, τὸ μῆκος τὸ τῆς ἐξόδου. τί δὲ τοῦτο σημαίνει;

πρῶτον μὲν τὸ Ἡνωμένον Βασίλειον τὴν Ε. Ε. τῇ 31ῃ Ἰανουαρίου καταλείψεται (τοῦτο ἤδη οὐδένα λανθάνει γενησόμενον), ἔπειτα δὲ δεήσει τήν τε Ε. Ε. καὶ τὸν Η. Β. συνθήκην ποιεῖσθαι πειρᾶν ἵνα ἡ ἔξοδος οὐ χαλεπώτερον τοῦ προσήκοντος γίγνηται (περὶ ἄλλων τε καὶ τῆς ἐμπορίας), ὁ δὲ B. J. καὶ ἡ Ε. Ε. ἕνδεκα μῆνας ἕξουσιν ἵνα συνθήκην τινὰ κτῶνται, ἐὰν δὲ εἰς τὸ τοῦ 2020ου ἔτους τέλος μηδεμίαν συνθήκην ὁμολογῶσιν οὐκ ἐξέσται αὐτοῖς οὐδεμίαν ἄλλην συνθήκην κτᾶσθαι πειρᾶν· ὅμως δὲ τοῦτο συνιέναι χαλεπόν ἐστιν, τί γὰρ κωλύσει αὐτοῖς τῷ μέλλοντι χρόνῳ, παραδείγματος ἕνεκα τῷ 2023ῳ ἔτει, συνθήκην ποιεῖσθαι;

Ἡ Τουρκία καὶ ἡ Οὐικιπαιδεία

16 Ἰανουαρίου 2020

Τοῖς τῆς Τουρκίας πολίταις τήμερον αὖθις ἔξεστι τῇ Οὐικιπαιδείᾳ χρῆσθαι, χθὲς γὰρ οἱ δικασταὶ ἔγνωσαν τὸ τοὺς πολίτας κωλύειν αὐτῇ χρῆσθαι παρὰ τοὺς νόμους εἶναι.

ἡ μὲν οὕτω καλουμένη Οὐικιπαιδεία μεγάλη ἐγκυκλοπαιδεία ἐστὶν ἐν τῷ διαδικτύῳ κειμένη, ἤδη δὲ τὸ τρίτον ἔτος τοῖς τῆς Τουρκίας ἄρχουσιν ἔδοξε τὴν εἰς αὐτὴν εἴσοδον κωλύειν τε καὶ κλεῖσαι· ἡ δὲ ταύτης τῆς ἀπορρήσεως αἰτία;

ἐν μέρεσί τισι ταύτης τῆς ἠλεκτρονικῆς ἐγκυκλοπαιδείας ἐγέγραπτο τὴν Τουρκίαν τῷ Ἰσλαμικῷ Κράτει ἐν τῇ Συρίᾳ βοηθῆσαι, ὃ ὁ Ἐρδογᾶν παντελῶς ἀπόφησιν. ἡ τῆς Τουρκίας ἀρχὴ πρῶτον μὲν ἐπειράσατο τοὺς τῆς Οὐικιπαιδείας ἄρχοντας πείθειν ἐκείνην τὴν κατάφασιν ἀφαιρεῖν ὡς ψευδῆ οὖσαν, ἔπειτα δὲ αὐτοὺς πείθειν οὐ δυνηθεῖσα τῷ μηνὶ Ἀπριλίου τοῦ 2017ου ἔτους ἐκέλευσε τὴν εἰς τὴν Οὐικ. εἴσοδον κατὰ πᾶσαν τὴν χώραν κλεῖσαι, κατὰ γὰρ τοὺς τῆς Τουρκίας νόμους ἔξεστι τῇ ἀρχῇ ἠλεκτρονικὰς σελίδας κλεῖσαι ἐὰν αὗται αἱ σελίδες κίνδυνόν τινα τῇ χώρᾳ γίγνεσθαι δύνωνται.

ὅμως δὲ ἡ ἑταιρεία Οὐικιμέδια, ἣ τυγχάνει τὴν Οὐικιπαιδείαν κεκτημένη, ταύτην τὴν ἀπόρρησιν εἰς δίκην ὑπήγαγεν, χθὲς δὲ οἱ δικασταὶ ὑπὲρ τῆς ἐλευθέρας εἰσόδου ἐψηφίσαντο.

ἡ Οὐικιπαιδεία μυρίους συνεργοὺς ἔχει, οἱ δὲ πλεῖστοι ἀνώνυμοί εἰσιν, οὗτοι δὲ ἐξουσίαν ἔχουσιν ἵνα γράφωσιν ὅ τι ἂν βούλωνται, ἐν δὲ πολλαῖς χώραις οὐκ ἔξεστι τοῖς πολίταις εἰς ταύτην τὴν ἠλεκτρονικὴν ἐγκυκλοπαιδείαν εἰσβῆναι.

Ὡπλισμένοι πολῖται

21 Ἰανουαρίου 2020

Καίπερ τοῦ ἐν τῷ Ἰρᾶκ πολέμου πολὺ ἀπέχοντος, ἐν τῇ πόλει Ῥίζμονδ (τῇ πρωτευούσῃ τῆς ἐπαρχίας Βιργινίας ἐν ταῖς ΗΑΠ) ἐξῆν ἰδεῖν χθὲς μυριάδα ἀνθρώπων οἳ ἄνω καὶ κάτω ἐβάδιζον ὅπλα ἔχοντές τε καὶ φανερῶς δεικνύοντες ὥσπερ εἰ εἴτε ἐν τῇ πόλει Βαγδᾶδ εἴτε ἐν τῇ Μοσοῦλ εἶεν. ἆρα ἴσως πολέμου τινὸς ἐν ταύτῃ τῇ πόλει γενομένου ὁ πρόεδρος τὸ στράτευμα ἐκ τῶν στρατοπεδίων ἐξήνεγκεν ἵνα τοὺς πολεμίους ἀπωθοῖεν; οὐδαμῶς, οὗτοι γὰρ οἱ ἄνθρωποι οὕτως ὡπλισμένοι ἔτυχον οὐ στρατιῶται ὄντες (καὶ εἰ ἔνιοι στρατιωτικὰς ἐσθῆτας ἐνεδύοντο) ἀλλὰ πολῖται.

πολῖται διὰ τῶν ἀγυιῶν ὅπλα φέροντες οὐδενὸς κωλύοντος; ναί, ὦ τᾶν. ἡ δὲ αἰτία;

ὁ Ralph Northam, ὁ ταύτης τῆς ἐπαρχίας (Βιργινίας) ἄρχων, ἐν νῷ ἔχει νόμον προθεῖναι καθ' ὃν οὐκ ἔξεσται τοῖς πολίταις ὅπλα ἔχειν· δεῖ δὲ εἰδέναι ὅτι ἐν ἑνίαις τῶν ΗΑΠ ἐπαρχίαις ἔξεστι τοῖς πολίταις ὅπλα ὠνεῖσθαι καὶ ἔχειν, ὃ ἄλλοις μὲν ἀρέσκει, ἄλλοις δὲ ἀπαρέσκει· οἱ μὲν τῷ ὅπλα ἔχειν δύνασθαι ἀνθιστάμενοι λέγουσιν ὅτι τοῦτο ἐπικίνδυνόν ἐστιν, ὅστις γὰρ ἂν βούληται δύναται ῥᾳδίως ἄλλον τινὰ ἀποκτείνειν, οἱ δὲ ἐπικουροῦντες λέγουσιν ὅτι τὸ ὅπλα μὴ ἔχειν ἐπικίνδυνόν ἐστιν, οὐ γὰρ ἔξεστιν ἀμύνεσθαι, ἀεὶ δὲ τοὺς αὐτοὺς λόγους πάλιν λέγουσιν· “μόνον ἀγαθὸς ἄνθρωπος ὅπλον ἔχων παύειν κακὸν ἄνθρωπον ὅπλον ἔχοντα δύναται.“

τοῦ ἄρχοντος R. N. τοῦτον τὸν νόμον προθέντος, πολλοὶ πολῖται βούλονται μὲν ἑαυτοὺς δεικνύναι οὐκ ἐθέλοντας τοῦτο δέχεσθαι, εἰς δὲ τὴν πρωτεούουσαν Ῥίζμονδ συνῆλθον τὰ ὅπλα ἔχοντές τε καὶ ἐπιδεικνύοντες, ὥστε τῷ διὰ ταύτης τῆς πόλεως νῦν πλανῶντι δοκεῖ ὅτι θεός τις αὐτὸν ἐξαίφνης εἰς τὸ Ἰρᾶκ διεβίβασεν.

Δεινὴ νέα νόσος

28 Ἰανουαρίου 2020

Ἡ ἐν τῇ Σίνῃ νόσος αὐξάνεταί τε καὶ εἰς ἄλλους τόπους ἀφικνεῖται, καίπερ τῶν ἐν τέλει κωλύειν πειρώντων, ἀναγκαῖον δέ ἐστι λέγειν ὅτι ἐξ οὗ αὕτη ἡ νόσος πρῶτον ἐφύη 106 μὲν ἄνθρωποι αὐτῆς ἕνεκα ἀπέθανον, ἄλλοι δέ 4,200 τὴν νόσον πάσχουσιν. ἡ νόσος, "κορονοϊὸς" καλουμένη, ἐν τῇ Σίνῃ ἐφύη, ἐν τῇ ἐπαρχίᾳ Οὖχαν, ἐν τῷ τῆς χώρας μέσῳ κειμένῃ.

πρῶτον μὲν ἡ νόσος ἐκ ζῴων εἰς ἀνθρώπους παρεδίδοτο, ἔπειτα δὲ καὶ ἐξ ἀνθρώπων εἰς ἀνθρώπους, διὰ δὲ τοῦτο οὕτω ταχέως διασπείρεται ὥστε χαλεπώτατόν ἐστι ταύτην τὴν διασπορὰν παύειν. τοῖς αὐτὴν πάσχουσι πυρετὸς ἐπιγίγνεται καὶ χαλεπῶς ἀναπνέουσιν.

πῶς δὲ ἔξεστι τὴν τῆς νόσου διασπορὰν παύειν; ἡ τῆς Σίνης ἀρχὴ τὴν Οὖχαν ἐπαρχίαν ἀποκεχωρικυῖα τοὺς ἔνδον τῆς ἐπαρχίας ὄντας ἐξελθεῖν κωλύει, ἀπαγορεύεται δὲ καὶ εἰσελθεῖν· ὅμως δὲ ἔνιοι ἄνθρωποι ἔξω ταύτης τῆς ἐπαρχίας ὄντες καὶ τὴν νόσον πάσχουσιν, πρὶν γὰρ τὴν ἀποχώρησιν ἄρχεσθαι πολλοὶ πολῖται ἤδη ἐκ ταύτης τῆς ἐπαρχίας πρὸς ἄλλα τῆς Σίνης μέρη ἐπορεύθησαν· ἔξω δὲ τῆς Σίνης ἔνιοι ἄνθρωποι τὴν νόσον πάσχουσιν (καὶ εἰ οὐδεὶς ἀπέθανεν), οὗτοι γὰρ εἴτε αὐτοὶ ἐκ τῆς Σίνης νεωστὶ ἀφίκοντο εἴτε τὴν νόσον εἰσεδέξαντο ἐξ ἄλλου ὅστις ἐν τῇ Σίνῃ νεωστὶ εἴη.

τὶ δὲ ἔξεστι ποιεῖν ἵνα εἴτε εἰσδέχεσθαι τὴν νόσον εἴτε παραδιδόναι κωλύωμεν; κατὰ τοὺς ἰατροὺς δεῖ τὰς χεῖρας πλεῖον τοῦ δέοντος λούειν καὶ τό τε στόμα καὶ τὴν ῥῖνα καλύπτειν ὁπόταν πταίρωμεν.

Ἡ Ἰνδονησία δημοσιογράφον ἐλευθεροῖ

2 Φεβρουαρίου 2020

Ἡ Ἰνδονησία ἠλευθέρωσε τὸν Ἀμερικανὸν δημοσιογράφον Ἰάκοβσον· οὗτος ὁ ἀνὴρ τῇ 17ῃ τοῦ Δεκεμβρίου ἐν τῇ νήσῳ Βορνέῳ ὑπὸ τῶν φυλάκων συνελήφθη.

ὁ Ἰάκοβσον, δημοσιογράφος τριάκοντα καὶ ἓν ἔτη γεγονώς, εἰς μὲν τὴν Ἰνδονησίαν εἰσῆλθεν ἐξουσίαν τοιαύτην ἔχων οἷα τοὺς κτησαμένους ἐργάζεσθαι ἐᾷ, συλλόγῳ δὲ πολιτικῷ ἐν τῇ νήσῳ Βορνέῳ γενομένῳ παρῆν, ὃ κατὰ τὴν ἀρχὴν οὐκ ἐξῆν αὐτῷ ποιεῖν, οὗ ἕνεκα κατελήφθη· ὁ δὴ Ἰάκοβσον, πῶς γὰρ οὔ, ἀπεκρίνατο ὅτι δημοσιογράφος ὢν τὸ πολιτικῷ τινι συλλόγῳ παρεῖναι τὸ αὐτὸ καὶ ἐργάζεσθαί ἐστιν, ὅμως δὲ πρῶτον μὲν ἐν τῷ ἑαυτοῦ οἰκήματι κατείρχθη, ἔπειτα δὲ πρὸς τὸ δεσμωτήριον ἠνέχθη, τέλος δὲ ἔδοξε τῇ ἀρχῇ αὐτὸν ἐλευθεροῦν. ὁ Ἰάκοβσον τετταράκοντα καὶ πέντε ἡμέρας ἐν φυλακῇ ἔκειτο.

Τὸ Ἡνωμένον Βασίλειον τὴν Εὐρωπαικὴν Ἕνωσιν ἀπολείπει

2 Φεβρουαρίου 2020

Ἡ Εὐρωπαικὴ Ἕνωσις εἴκοσι καὶ ἑπτὰ κοινωνοὺς ἔχει νῦν, τὸ γὰρ Ἡνωμένον Βασίλειον προχθὲς τῆς νυκτὸς ταύτην τὴν ἑταιρείαν κατέλιπεν. πρὶν μὲν τὸ οὕτω καλούμενον “Βρέξιτ“ γενέσθαι πάντες οἱ τοῦ κόσμου ὀφθαλμοὶ πρὸς τὴν Η. Β. ἔβλεπον, νῦν δὲ τοῦ Βρέξιτ

ἤδη γενομένου οὐδεὶς περὶ τοῦ Η. Β. φροντίζει καὶ οἱ αὐτοὶ ὀφθαλμοὶ πρὸς τὴν Ε. Ε. βλέπουσιν, πάντες γὰρ ὅ τι τὸ Η. Β. πεποίηκεν ἤδη εἰδότες βούλονται τὸ νῦν ὅ τι ἡ Ε. Ε. ποιήσει εἰδέναι.

οἱ δὲ λόγοι οἳ διὰ τῶν ἔτι κοινωνῶν ὄντων νῦν τρέχουσιν οἵδε εἰσίν, ὅτι δεῖ τὴν Ε. Ε. οὕτως ἑαυτὴν αὖθις πλάττειν ὥστε οἱ τῆς Εὐρώπης πολῖται μέρος μὲν τούτου τοῦ ὀργανισμοῦ εἶναι βούλεσθαι οὐδὲ καταλιπεῖν, οὐδένα γὰρ λανθάνει ἡ Ε. Ε. φοβουμένη μὴ ἄλλαι χῶραι ἐν τῷ μέλλοντι χρόνῳ τὸ αὐτὸ ποιεῖν βούλωνται.

Στρατιώτης εἴκοσι ἀνθρώπους ἀποκτείνει

8 Φεβρουαρίου 2020

Στρατιώτης τις ἐν τῇ Ταιλανδίᾳ εἴκοσι μὲν ἀνθρώπους ἀπέκτεινεν τήμερον, τετταρακαίδεκα δὲ ἄλλους ἔτρωσεν· μετὰ δὲ ταῦτα ὁ μὲν στρατιώτης, ὃν ἰδεῖν δυνάμεθα ἐν τῇ φωτογραφίᾳ, τῶν φυλάκων ἀφικομένων ἀπέφυγεν, οὔπω δὲ αὐτὸν ηὗρον· ὅμως δὲ αὐτὸς εἰς τὸ Facebook φωτογραφίας τοῦ φόνου εἰσέθηκεν.

ὁ στρατιώτης πρῶτον μὲν αὐτοκίνητον ἔκλεψεν ᾧ εἰς τὸν τῆς πόλεως κέντρον ἀφίκετο, ἔπειτα δὲ ἐκεῖ πρὸς λοχαγόν τινα καὶ ἄλλους στρατιώτας πυροβολήσας καὶ εἰς ἐμπορικὸν οἴκημα εἰσβὰς πρὸς τοὺς ἐκεῖ ὄντας ἄνευ λόγου προσέβαλεν· οἱ δὲ φύλακες ταχέως τὸ ἐμπορικὸν οἴκημα περιέκλεισαν, ἀλλὰ οὔπω ἴσμεν πότερον αὐτὸν ἤδη κατέλαβον ἢ ἔτι καὶ νῦν ἐντὸς μένει κεκρυμμένος.

ὁ τῶν φυλάκων φερέφωνος οὐδὲν εἶπε περὶ τῆς τοῦ φόνου αἰτίας, λέγεται δὲ ὅτι ἅμα ταῖς φωτογραφίαις ὁ φονεὺς εἰσέθηκε καὶ ἐξηγήσεις τινὰς ἐν αἷς περὶ πρὸς τὸν στρατὸν τιμωρίας ἔγραψεν.

Ἡ ἐν τῇ Βενεζουέλῃ κατάστασις

8 Φεβρουαρίου 2020

Ἐν τῇ Βενεζουέλῃ ἡ τοῖν δυοῖν προέδροιν κατάστασις διαμένει, ὅ τε γὰρ Μαδοῦρο καὶ ὁ Γουαιδὼ διαβεβαιοῦνται τὸν κατὰ τοὺς νόμους ἀληθῆ πρόεδρον εἶναι· πῶς γὰρ οὔ, ἀπ' ἀρχῆς τοῦτο διεθνὲς πρᾶγμα ἐγένετο καὶ οὕτω μένει, χθὲς γὰρ οὐ μόνον τοῦ τῶν ΗΑΠ προέδρου Τρᾶμπ ἀλλὰ καὶ τῆς τῶν τῷ Τρᾶμπ ἀνθισταμένων ἀρχούσης Νάνσι Πελόσι εἰπόντων ὅτι τῷ Γουαιδὼ ἐπικουροῖεν... οὐ διὰ πολλοῦ ὁ τῆς Ῥωσσίας τῶν Ἐξωτερικῶν ὑπουργός, Σεργεῖ Λάβροβ, ὡς τὴν τῷ Μαδοῦρο ἐπικουρίαν σαφῶς ἐπιδείξων εἰς τὴν πόλιν Καράκας ἐπορεύθη· κατὰ τὸ εἰκός, ὁ Μαδοῦρο, αὐτὸν ἀσμενώτατα ἀσπασάμενος "ἀδελφὸν" ἐκάλεσεν.

ἴσως οὐδεμία ἄλλα χώρα τὴν τῆς οἰκουμένης κατάστασιν βέλτιον δείκνυσιν ἢ ἡ Βενεζουέλα.

Ταχὺς σιδηρόδρομος ἐν τῷ Ἡνωμένῳ Βασιλείῳ

13 Φεβρουαρίου 2020

Ὅτι τὸ τῶν τοῦ Ἡνωμένου Βασιλείου σιδηροδρόμων σύστημα ἀρχαιότερον τοῦ δέοντός ἐστι πάντες ἴσμεν, οὐδένα δὲ λανθάνουσι πολλαὶ χῶραι οἰκοδομήσασαι ὃ ὡς ἐπὶ τὸ πολὺ "σιδηρόδρομοι ὑψηλοτάτης ταχυτῆτος" καλεῖται· τὸ δὲ ἐρώτημα ὃ ἔνθα καὶ ἔνθα πολλοὶ

ἐρωτῶσι τόδε ἐστίν, διὰ τί τὸ Η. Β. τοιοῦτο ταχέων σιδηροδρόμων σύστημα οὐκ οἰκοδομεῖ οἷον ἔχουσιν ἤδη ἄλλαι χῶραι.

τέλος δὲ ἔδοξε τοῖς τοῦ Η. Β. ἄρχουσιν εἰς ταύτην τὴν ἐπιχείρησιν εἰσβῆναι, νεωστὶ δὲ ὁ πρωθυπουργὸς Βόρις Ἰώνσων τὸ πρόγραμμα ὑπεγράψατο ἵνα τὸν πρῶτον ταχὺν σιδηρόδρομον οἰκοδομῶσιν. τὸ μὲν τοῦ ἐπιχειρήματος ὄνομα "HS2" ἐστίν, ὁ δὲ σιδηρόδρομος τὰς πόλεις Λονδίνον καὶ Βίρμιγγαμ συνάψει.

ὅμως δὲ πολλοὶ βουλευταί, οὐ μόνον ἄλλων κομμάτων ἀλλὰ καὶ τοῦ ἑαυτοῦ κόμματος, τοῦτο τὸ ἐπιχείρημα μέμφονται ὡς τιμιώτατον ὄν, φοβοῦνται δὲ μὴ τὴν φύσιν βλάπτῃ.

Περὶ τῆς νόσου Covid-19

13 Φεβρουαρίου 2020

Ἐξ οὗ αὕτη ἡ νόσος, "Covid-19" καλουμένη, ἐπεφάνη, ὁ της Σίνης πρόεδρος ἔφυγε φυλακὴν ἐπὶ τοῦ στόματος ἔχων ὀφθῆναι, ἐβούλετο γὰρ οὐδαμῶς μὲν φόβον πρὸς τοὺς πολίτας προιέναι, ἡσυχίαν δὲ καὶ πίστιν παρέχειν.

ἤδη δὲ χιλίων ἀνθρώπων ἐν τῇ Σίνῃ τῇ νόσῳ ἀποθανόντων, οὐδαμῶς ἔξεστιν οὐδεμίαν ἡσυχίας τε καὶ πίστεως ὄψιν παρέχειν, ἡ δὲ νόσος ἤδη οὕτω πανταχόσε διεσπάρη ὥστε προχθὲς ἐξῆν τὸν πρόεδρον ἰδεῖν φυλακῇ χρώμενον, ἔτυχε γὰρ νοσοκομεῖόν τι ἐξετάζων.

περὶ δὲ τῆς νόσου αὐτῆς, οἱ ἔμπειροι οὐχ ὁμολογοῦσι πότερον ἡ νόσος ἤδη εἰς τὸ τῆς διασπορᾶς ἄκρον ἀφῖκται ἢ οὔ, διαβεβαιοῦνται γὰρ ἔνιοι ὅτι, καὶ εἰ ἔτι καὶ νῦν σκεδάννυται, ἡ διασπορὰ καθ' ἡμέραν βραδυτέρα γίγνεται.

Ἡ τοῦ Ὄλοφ Πάλμε δολοφονία

19 Φεβρουαρίου 2020

ὁ Ὄλοφ Πάλμε (ἐν τῇ φωτογραφίᾳ), ὁ τῆς Σουηδίας πρωθυπουργός, τῷ 1986ῳ ἔτει ἐν τῷ τῆς πόλεως Στοχὸλμ κέντρῳ ὑπὸ ἀγνώστου ἀνθρώπου ἀπέθανεν.

τὸν μὲν δολοφόνον οὐδέποτε ηὗρον, ὃ πολλοὶ πολῖται ἐμέμψαντο, ἤλπιζον γὰρ τοὺς φύλακας ταχέως αὐτὸν εὑρήσειν· νῦν δέ, ἤδη τριάκοντα καὶ τεττάρων ἐτῶν ἐξελθόντων, ὁ Κρίστηρ Πέτερσσον ὃς τῷ 2017ῳ ἔτει τὴν περὶ τούτου τοῦ φόνου ἐξέτασιν ὑπέλαβεν, εἶπεν νεωστὶ ὅτι ἐν νῷ ἔχοι ὕποπτόν τινα πρὶν τὸ θέρος ἄρχηται εἰς δίκην ὑπάγειν, νέα γὰρ τεκμήρια εὕροι. ἴσως ηὗρε τὸ ὅπλον ᾧ ὁ φονεὺς ἐχρήσατο;

τοῦτο τὸ ἄγγελμα ἀπροσδοκήτους πάντας κατέλαβεν, οἱ γὰρ πλεῖστοι ἤδη ταύτης τῆς δολοφονίας πάλαι γενομένης ἐπιλελησμένοι ἦσαν.

ὅμως δὲ ἤδη τοσαῦτα ἔτη ἐξῆλθεν ὥστε πολλοὶ θαυμάζουσι πότερον ὁ δολοφόνος ἔτι καὶ νῦν ζῇ, εἰ γὰρ παραδείγματος ἕνεκα τριάκοντα ἔτη γεγονὼς τὸν Πάλμε ἀπέκτεινεν, νῦν ἑξήκοντα καὶ τέτταρα ἔτη γεγονὼς εἴη ἄν, εἰ δὲ τετταράκοντα, ἑβδομήκοντα καὶ τέτταρα ἄν, κ.τ.λ.

ὁ Ὄλοφ Πάλμε δὶς πρωθυπουργὸς ἐγένετο, πρῶτον μὲν ἐκ τοῦ 1969ου μέχρι τοῦ 1976ου ἔτους, ἔπειτα δὲ αὖθις ἐκ τοῦ 1982ου μέχρι τοῦ 1986ου ἔτους.

Νέος περὶ τῶν μετοίκων νόμος

19 Φεβρουαρίου 2020

Χαλεπώτερον ἔσται νῦν τοῖς εἰς τὸ Ἡνωμένον Βασίλειον ὡς ἐργαζομένοις ἐλθεῖν βουλομένοις τὴν ἐξουσίαν κτᾶσθαι, τοῦτον μὲν γὰρ ὅστις ἂν βούληται τοῦτο ποιεῖν δεήσει δεικνύναι ἑαυτὸν οὐ μόνον ἀγαθὸν μισθὸν δεξόμενον ἀλλὰ καὶ τὴν Ἀγγλικὴν γλῶτταν ἱκανῶς γιγνώσκοντα, τοῖς δὲ τῆς Εὐρωπαικῆς Ἑνώσεως πολίταις ἡ αὐτὴ ἔσται συνθήκη καὶ τοῖς νῦν ἔξω τῆς Ε. Ε. οἰκοῦσιν οὐδὲ ῥᾷον ἔσται αὐτοῖς ἐν τῷ Η. Β. ἐργάζεσθαί τε καὶ οἰκεῖν δύνασθαι.

οὗτος δὴ ὁ νέος νόμος κεφαλαία τοῦ πρωθυπουργοῦ ὑπόσχεσις ἐγένετο τοῖς πολίταις εἰς τὰς προτέρας ἀρχαιρεσίας, τοῦτο δὲ ὑπισχόμενος πολλῷ πάντας τοὺς ἀντιπάλους ἐνίκησεν.

Δῶρον τοῖς ἐν τῷ Χὸγκ Κὸγκ οἰκοῦσιν

28 Φεβρουαρίου 2020

Οἱ τῆς Χὸγκ Κὸγκ ἄρχοντες 1.180 Εὐρωπαῖα νομίσματα ἑκάστῳ οἰκέτῃ δώσουσι πλὴν ἐκείνων οἵτινες ἂν μήπω ὀκτωκαίδεκα ἔτη γεγονότες ὦσιν, εἴτε αὐτόχθοσιν εἴτε μετοίκοις οὖσιν (ἐφ' ᾧ ἂν ἐξουσίαν τῷ ἐν τῇ χώρᾳ μένειν ἔχωσιν)· ῥᾴδιον δέ ἐστι τὴν τούτου τοῦ ἀπροσδοκήτου δώρου αἰτίαν αἰσθάνεσθαι, ἡ μὲν γὰρ ταύτης τῆς πόλεως οἰκονομία χαλεπῶς πρῶτον μὲν ταῖς στάσεσιν, ἔπειτα δὲ τῇ οὕτω καλουμένῃ Covid-19 νόσῳ ἐβλάβη, οἱ δὲ πολῖται νῦν χαλεπὴν οἰκονομικὴν μείωσιν πάσχουσιν, οἱ οὖν ἐν τέλει τοῦτο ποιοῦντες πειρῶσιν τὴν ἐμπορίαν καὶ τὴν καπηλείαν ἐποτρύνειν καὶ αὐξάνειν.

ἐν ταύτῃ τῇ πόλει ἑπτὰ ἑκατομμύρια ἀνθρώπων οἰκοῦσιν οἳ ἤδη ἢ ὀκτωκαίδεκα ἢ πλείονα ἔτη γεγονότες εἰσίν, τοῦτο δὲ τὸ δῶρον τῷ δημοσίῳ μεγάλην δαπάνην ἐπιθήσει καί, ὡς ἔνιοι λέγουσιν, ἴσως τὸ φάρμακον χεῖρον τῆς νόσου αὐτῆς γενήσεται, ἄλλοι δὲ διαβεβαιοῦνται ὅτι, τῆς οἰκονομίας τοσοῦτο μειωθείσης, τοῦτο τὸ βέλτιστόν ἐστιν ὃ νῦν ποιεῖν δύναται ἡ ἀρχή.

Ἡ Τουρκία τὸν ὅρον ἀνοίγνυσιν

28 Φεβρουαρίου 2020

Χθὲς μὲν τῆς νυκτὸς τριάκοντα καὶ τρεῖς Τοῦρκοι στρατιῶται ὑπὸ τοῦ τῆς Συρίας στρατοῦ ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν, τήμερον δὲ ὁ Τοῦρκος στρατὸς πύραυλα πρὸς τὸν Συρίον στρατὸν ἐν τῷ δήμῳ Ἴδλεβ κείμενον ἀνῆκεν, οὐδὲ μόνον τοῦτο ἀλλὰ καὶ βούλεται νῦν ἡ Τουρκία πάντας εἰς τὴν Εὐρώπην διαβαίνειν ἐᾶν οἵτινες ἂν βούλωνται. ὁ δὲ τοῦ Ἐρδογᾶν σκοπὸς οὐδένα λανθάνει, πειρᾷ γὰρ τὴν Εὐρώπην πιέζειν ἵνα τῇ Τουρκίᾳ βοηθῶσιν ἐπὶ τήν τε Συρίαν καὶ τὴν Ῥωσσίαν ἐν τῷ Ἴδλεβ μαχομένῃ.

τοῦ πολέμου ἕνεκα, πολλοὶ μὲν ἐκ τῆς Συρίας αὐτῆς καὶ ἄλλων γειτοσύνων χωρῶν ἀφικόμενοι πειρῶσιν ἐκ τῆς τε καθαιρέσεως καὶ τοῦ θανάτου ἐκφυγεῖν καὶ εἰς τὴν Εὐρώπην εἰσβῆναι, ὃ ἡ Εὐρωπαικὴ Ἕνωσις φοβεῖται μὴ γένηται, τῆς δὲ Τουρκίας τὸν ὅρον κλεισάσης ἐκεῖ καθ' ἡμέραν πλείονες ἀθροίζονται.

Αὖθις περὶ τῆς νόσου Covid-19

5 Μαρτίου 2020

Καὶ εἰ δυσχερέστατόν ἐστιν, δεῖ αὖθις περὶ ταύτης τῆς νόσου διαλέγεσθαι ἢ συνεχῶς διὰ πάσης τῆς οἰκουμένης διασκεδάννυται.

χθὲς δὴ ἐξῆν πᾶσι τοῦ τῶν ΗΑΠ προέδρου Δ. Τρᾶμπ ἀκούειν περὶ ταύτης τῆς νόσου διαλεγομένου· πρῶτον μὲν περὶ ὧν πάντες ἀκούειν ἤλπιζον ἔλεγεν, οὐδὲν ἀπροσδόκητον (εἶπε μὲν ὅτι τοὺς ἐξεταστὰς ἐποτρύνοι ἵνα νέον φάρμακον εὑρῶσιν ὅ τι ἂν τὴν νόσον νικᾷ, εἶπε δὲ ὅτι ἡ Ἀμερικανὴ ἀρχὴ πάντα παρασκευάζοιτο ὡς τὴν τῆς νόσου διασποράν κωλύῃ, κτλ.), ἔπειτα δὲ ἐξῆν τι ἀκούειν ὃ πάντας οἳ ἀκούοντες ἔτυχον ἐξέπληξεν,ὁ γὰρ Τρᾶμπ ἐξαίφνης εἶπεν ὅτι ἤδη τὴν τετάρτην ἑβδομάδα τὸ ἑαυτοῦ πρόσωπον οὐ ψαύει.

τί δὴ περὶ τοῦ προσώπου; διὰ δὲ τί τοῦτο εἶπεν; διότι οἱ Ἀμερικανοὶ ἰατροὶ τοῖς πολίταις παραινοῦσιν τοῦ προσώπου μὴ ἅπτεσθαι, ἄλλων τε καὶ τῆς ῥινὸς καὶ τῶν ὀφθαλμῶν καὶ τοῦ στόματος, ἐν γὰρ τούτοις τοῖς τρισὶ μέρεσι ἀθροίζοιντο τὸ πλεῖστον τῶν τῆς νόσου μικροβίων.

ἐν δὲ ταῖς ΗΑΠ ἕνδεκα μὲν ἄνθρωποι τῇ νόσῳ ἀπέθανον, ἑκατὸν δὲ πεντήκοντα τὴν νόσον πάσχουσι καὶ εἰ οὐ κινδυνεύουσιν, ἐν δὲ ἄλλαις χώραις οἱ ἄρχοντες νέους νόμους προὔθεσαν ὅπως τὴν διασποράν παύωσιν, παραδείγματος ἕνεκα ἐν τῇ Ἰταλίᾳ τά τε διδασκαλεῖα καὶ τὰ πανεπιστήμια δέκα ἡμέρας κεκλεισμένα μενεῖ, ἡ γὰρ νόσος ῥᾷον διασκεδάννυται ὅπου ἂν μέγας ὅμιλος ἀθροίζεται.

Ὁ Χαβιὲρ Πέρες δε Κουέλλαρ ἀπέθανεν

5 Μαρτίου 2020

Ὁ Χαβιὲρ Πέρες δε Κουέλλαρ, ὃς τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ δέκα ἔτη ἦρχεν, ἀπέθανε χθὲς ἑκατὸν ἔτη γεγονὼς ἐν τῇ ἑαυτοῦ οἰκίᾳ.

ὁ Π. δ. Κ. πρῶτον μὲν τῷ 1975ῳ ἔτει τῶν ΗΕΟ πρεσβευτὴς ἐπέμφθη ὡς τοὺς τῆς τε Ἑλλάδος καὶ τῆς Τουρκίας ἄρχοντας τότε περὶ τῆς νήσου Κύπρου μαχομένους πείσων ἵνα τῇ βίᾳ χρῆσθαι παύσαιντο, ὃ ἀληθῶς ἐκτήσατο, αὕτη δὲ ἡ πρώτη ἔνδοξος διπλωματικὴ νίκη αὐτοῦ ἐγένετο· ἔπειτα δὲ τοσαύτην ἀρίστην πρὸς τὰ διπλωματικὰ διάθεσίν τε καὶ γνώμην ἐπέδειξεν ἐν πολλαῖς ἀμίλλαις μεσιτεύων ὥστε ταχέως ἀνὰ τὴν τῆς ἀρχῆς κλίμακα ἀνέβη ἕως τῷ 1982ῳ ἔτει ἄρχων τῶν ΗΕΟ ἐγένετο, οὕτω δὲ διέμενε μέχρι τοῦ 1991ου ἔτους. τέλος δὲ ὁ Βοῦτρος Γάλι αὐτῷ πᾶσι τετιμημένῳ διεδέξατο.

Δίκη περὶ τοῦ ἐν τῇ Οὐκραίνᾳ καταβληθέντος ἀεροσκάφους

11 Μαρτίου 2020

Τῇ 17ῃ Ἰουλίου τοῦ 2014ου ἔτους 298 ἄνθρωποι Ῥωσσικῷ πυραύλῳ ἀπέθανον.

οὗτοι μὲν οἱ ἄνθρωποι, ὧν οἱ πλεῖστοι Ὁλλανδικοὶ πολῖται ἦσαν, ἀπὸ τῆς πόλεως Ἄμστερδαμ πρὸς τὴν τῆς Μαλαισίας πρωτεύουσαν Κουάλα Λουμποῦρ ἐν ἀεροσκάφει Boeing 777 ἐπορεύοντο ὃ ἐπὶ τῆς Οὐκρανίας πετόμενον πυραύλῳ ἐτύπη, ἡ δὲ αἰτία ταχέως ηὑρέθη· ὁ Ῥωσσικὸς λόχος ὃς ἔτυχε τότε ἐν τῇ Οὐκρανίᾳ ὢν (τῷ γὰρ τῶν Οὐκρανιάνων πολιτῶν μέρει

ἐβοήθει οἳ ἀπὸ τῆς Οὐκρανίας ἀφίστασθαι βούλονται ἵνα τῇ Ῥωσσίᾳ συστῶσι) τὸ πύραυλον ἀνῆκεν.

νῦν δέ, ἓξ ἐτῶν ἐξελθόντων, ἐν τῇ Ὁλλανδίᾳ ἡ ταύτης τῆς προσβολῆς δίκη ἄρξεσθαι μέλλει, καίπερ οὐδενὸς τῶν κατηγορουμένων παρόντος· οἱ δὴ τέτταρες ἐκείνης τῆς πράξεως αἴτιοι πρὸς τὴν δίκην μὴ ἰέναι ἀρνοῦνται, λέγουσι γὰρ ὅτι τοῦτο μὲν πολιτικὴ δίκη ἐστίν, καίπερ δὲ εἰς δίκην κληθέντες οὐ παρέσονται.

οἱ δὲ τῶν ἀποθανόντων συγγενεῖς χθὲς 298 καθέδρας πρὸ τῆς Ῥωσσικῆς ἐν τῇ Χάγῃ πρεσβείας ἔθεσαν, σαφὲς τῶν ἀποθανόντων μέμνημα ὃ ἐν τῇ φωτογραφίᾳ ἰδεῖν ἔξεστιν.

Ἡ Σίνα τὴν νόσον βραδέως νικᾷ

11 Μαρτίου 2020

Ὁ τῆς Σίνης πρόεδρος χθὲς εἰς τὴν πόλιν Wuhan εἰσεπορεύθη, τὴν πόλιν ἀφ' ἧς αὕτη ἡ δεινὴ νόσος σκεδαννυμένη ἤρξατο. ὁ μὲν πρόεδρος ἐκεῖσε οὐκέτι ἐκεῖσε ἐληλύθει, κίνδυνος γὰρ ἦν μὴ τὴν νόσον πάθοι· νῦν δέ, τοῦ κινδύνου ἤδη μειωθέντος, ἔδοξεν αὐτῷ καιρὸν εἶναι προσιέναι.

ἐν δὲ τῇ Σίνῃ ὁ τῶν τὴν νόσον πασχόντων ἀριθμὸς συνεχῶς μειοῦται, οὐ μὲν γὰρ τοσοῦτοι τὴν νόσον πάσχουσιν ὅσοι τὸ πρότερον καὶ ἡ Σινικὴ ἀρχὴ ὡς ἄριστα ἔπραξεν ἵνα τὴν διασποραν κωλύοι, πολλὰ δὲ τῶν νοσοκομείων ἃ ταχέως ᾠκοδομήθη ἵνα τοὺς νοσοῦντας δέξαιτο ἤδη ἔκλεισαν ἅτε οὐδενὸς νοσοῦντος μένοντος. δῆλον δέ ἐστιν ὅτι ταύτῃ τῇ πορείᾳ βούλεται ὁ πρόεδρος τῇ οἰκουμένῃ δεικνύναι τὴν κατάστασιν ἤδη βελτίονα γενομένην.

καὶ εἰ ἔτι πολλὰ δεῖ ποιεῖν, ἔξεστι λέγειν ὅτι ἡ Σίνα ἡ πρώτη χώρα ἐστὶν ἣ τὴν νόσον νενίκηκεν.

Τυμπανίζει τις παρὰ τὸν αὐτοκινόδρομον (Marinus van de Ven)

20 Μαρτίου 2020

Παρὰ τὸν δωδέκατον αὐτοκινητόδρομον, πρὸς τῷ ἄμματι Oudenrijn, ἐν τῇ μεσημβρίᾳ ἐτυμπάζε τις ἐν τῇ τῆς ὁδοῦ παραλίᾳ. Τὸ γὰρ αὐτοκίνητον παρὰ τὸν αὐτοκινητόδρομον τεθηκὼς τύμπανά τινα ἐπέφηνεν ὡς τυμπανίσων.

Καίπερ οὐδαμῶς τοὺς ἄλλους ἡνιόχους ἐνοχλῶν τὸν νοῦν προσεῖχεν ἑαυτῷ. Ἤρετο οὖν αὐτὸν ἔφορος τῶν αὐτοκινητοδρόμων ἀπελθόντα τυμπανίσαι. Τοῦτο δὲ ποιῶν ὁ ἀνὴρ οὐ συνελήφθη.

Ὁ δ’ ἔφορος οὐ καταλαμβάνει διὰ τί ὁ μουσικὸς ἡνίοχος ἐν τῇ παραλίᾳ καθήμενος τυμπανίζοι· τὸ γὰρ αὐτοκίνητον οὐκ ἐτεθραύστο. Ὁ ἔφορος· «Ἡ δὴ γυνὴ εἰποῦσα ὅτι μαίνομαι τῷ τυμπανίζειν, δηλονότι ἀπεκρίνατο· ‘Ποῖ τυπανίσω;’ ‘Πανταχοῦ, ἐὰν μὴ οἴκοι!’»

Οὐχ αἱ τοῦ ἀφεδρῶνος χάρται, ἄλλ’ ὅπλα (Marinus van de Ven)

28 Μαρτίου 2020

Τῶν ἑβδομάδων προερχομένων ἀνὰ πάσην τὴν οἰκουμένην τὰ καπηλεῖα κενὰ ἐγένετο ὑπὸ τῶν ὠνητῶν. Οἱ μὲν γὰρ Ἰταλικοὶ τὰ ζυμικά, οἱ δ' Ἰνδονήσιοι τὴν ὄρυζαν, οἱ δ' Ὁλλανδικοὶ τῶν τοῦ φεδρῶνος χαρτῶν πλήθη ὠνοῦντο.

Οἱ δ' αὖ ἐν ταῖς Ἡνωνέναις Ἀμερικανικαῖς Πολιτείαις ὠνοῦνται πλήθη τῶν πυροβόλων, ὥσπερ Arjen van der Horst, ὁ ἄγγελος, γράφει. Διὰ οὖν τῶν στεφάνου κινδύνων μέγα ηὔξατο ἡ τῶν ὅπλων πρᾶσις.

Ἰαπωνικὸς ἔκλεψεν ,ε σ΄ ἐπιδίτροχα (Marinus van de Ven)

28 Μαρτίου 2020

Ἐν Ὀσάκᾳ, τῇ Ἰαπωνικῇ πόλει, ἀνήρ τις καθείρχθη, κλέψας ,ε σ΄ ἐπιδίτροχα (ἅ ἐστι τὰ ἐφίππια τὰ ἐπὶ τῶν διτρόχων). Ὁ δ' ἀνήρ, νζ΄ ἔτη γεγονώς καὶ ἡνίοχος ὢν μεγάλης ἁρμαμάξης, εἶπεν τοῖς στυφύλαξιν τὰ ἐπιδίτροχα λάμβάνειν νησυχότατον ὄντα.

Διεπράξαντο καθεῖρξαι τὸν ἄνδρα ἅτε φωτογραφικῆς μηχανῆς γραψάσης πῶς ὁ ἀνὴρ ἐν Νοουεμβρίῳ τῷ μηνὶ κλέπτοι δύο ἐπιδίτροχα πρὸς σιδηροδρομικῷ σταθμῷ τινι. Τοῦ δ' ἀνδρὸς καθειργμένου οἱ στυφύλακες ηὗρον μυρία ἐπιδίτροχα ἐν ταμιείῳ.

Ὁ δ' ἡνίοχος, ὃς συνεχώρησεν κλέψαι τὰ ἐπιδίτροχα, εἶπεν ὅτι ἐγώ, πρὸ κε΄ ἐτῶν ἀρξάμενος ἐπὶ τῷ μηκέτι ἀνήσυχον εἶναι, τοῦ χρόνου προερχομένου πλέον ἥδομαι.

Χίκων ὁ κύων εἰσέβη λαλήσων (Marinus van de Ven)

28 Μαρτίου 2020

Οἱ ἀστυφύλακες, καίπερ εἰωθότες καθ’ ἡμέραν πολλὰ καὶ θαυμαστὰ αἰσθάνεσθαι, μάλα ἐξεπλήττοντο ὁρῶντες κύνα τινὰ εἰσβαδίζοντα εἰς τὸ ἑαυτῶν γραφεῖον, τὸ τοῦ Permian Basin ἐν τῷ Τεξάδι. Ὁ δὴ κύων ἠρέμα εἰσβὰς ἀνέστη πρὸς τῷ δρυφάκτῳ, ἀπερειδόμενος τοῖς ὄπισθεν ποσίν ἐν τῷ δαπέδῳ.

Ὀλίγου ἔδει ὁ Χίκων βούλεσθαι λαλεῖν τι βεβαδικώς· τοὺ δὲ ζῳατροῦ φικομένου ὡς τὸν τοῦ Χίκονος χάρτην ἠλεκτρικὴν ἐξετάσοντος, ὁ ξένος ἤδη ᾤχετο.

Τῇ δ’ ὑστεραίᾳ ὁ τοῦ Χίκονος δεσπότης εἰς τὸ γραφεῖον εἰσελθὼν ἐκήρυξεν ὅτι ὁ κύων ἀσφαλὴς οἴκαδε ἦλθεν. Τὰ τοῦ φιλτάτου κυνὸς φωτογραφήματα πορεύεται ἐν τῷ διαδικτύῳ.

Κοουὶδ καὶ Στεφάνη, οἱ δίδυμοι, ἐγένοντο (Marinus van de Ven)

4 Ἀπριλίου 2020

Σύζυγοι δύο Ἰνδικοὶ τοὺς ἑαυτῶν διδύμους νεογενεῖς ὀνόματα Κοουὶδ καὶ Στεφάνην ὠνόμασαν. Τὰ γὰρ βρέφη, παῖς καὶ παιδίσκη ὄντα, ἐν τῇ ποκλείσει ἐγένοντο. Ἡ δὲ μήτηρ τοῖς Ἰνδικοῖς ἐπικοινωνοῦσιν «Τὰ ὀνόματα» ἔφη «σύμβολά ἐστι τῶν τοῦ τίκτειν ἐμπειριῶν.

Πρόσετι ἐμφαίνει τὸν στέφανον, καίπερ ἰὸν ἐπικίνδυνον ὄντα, πρόσετι ἐπιμελεῖσθαι ὅπως οἱ ἄνθρωποι ἄμεινον οὐ μόνον ἑαυτοὺς, ἀλλὰ καὶ ἀλλήλους θεραπέυσουσιν. Οἵ γε γονεῖς οὐδαμῶς ἀρνοῦνται ὅτι οὐκ ἄλλα ὀνόματα ὀνομάσουσιν ἐν τῷ μέλλοντι.

Σιδηροδρόμοι ἐπάυσθησαν τῆς πυκνότητος ἕνεκα (Marinus van de Ven)

11 Ἀπριλίου 2020

Πορευόμενοι ἐκ Ῥοτεροδάμου εἰς Ἀμστελλόδαμον, σιδηροδρόμοι δύο ἐπαύσθησαν ὑπὸ τῶν Ἐθνικῶν Σιδηροδρομιῶν (Ε.Σ.), κήρυκος αὐτῶν λέγοντος πλείους ἐνεῖναι ἀνθρώπους. Πρῶτον μὲν γὰρ ὁ τῶν συνθημάτων ἐλεγκτὴρ ἐδεήσατο τῶν ἀνθρώπων ἑκόντων καταβῆναι, ἅτε δύνατον ἡμιόλιον μέτρον ἀπέχεσθαι ἀπ᾽ ἀλλήλων. Πρόσετι δ᾽ ἐνῆσαν οἳ διτρόχους ἔχοντες ἐβούλοντο μακρὰν διτροχεῖν, ὥσπερ οἴονται αἱ Ε.Σ.

Οὐδενὸς ἑκόντος καταβῆναι ἐθέλοντος, οἱ σιδηροδρόμοι ἐπαύσθησαν ἐν σταθμῷ τινι, ὅπου πάντας τοὺς πορευομένους ἔδει καταβῆναι. Ἔπειτα δ᾽ ἄλλοι σιδηρόδρομοι κενώτεροι τοὺς καταβάντας πόρρω ἤλασαν.

Ὕλη αἰώνιος ἐν τῇ θαλάττῃ φάρμακα παρέχοι ἄν (Marinus van de Ven)

11 Ἀπριλίου 2020

Ἐρευνηταὶ Ἀμερικανικοὶ ἐν τῇ τρίτῃ ἡμέρᾳ τῆς ἑβδομάδος ηὗρον ὕλην πρὸ πολλῶν αἰώνων γεγονυῖαν πρὸς τῇ τῆς Ἀλαβάμας παραλίᾳ. Τὰ δὲ δενδρα ἔκειτο ὀκτωκαίδεκα μέτρα τὸ βάθος ἐν τῷ Μεξικῷ κόλπῳ. Αἱ δὲ κυπάρισσοι, περὶ ἑξακισμύρια ἔτη γεγονυῖαι, χρησταὶ ἂν εἶεν τοῖς ἰατροῖς τε καὶ βιοτεχνικοῖς.

Τὰ δὲ στελέχη εὖ ἐσώθη, ὑφ' ὑποστάσει κείμενα. Αἱ δὲ ἐν τῷ ξύλῳ ἀσκαρίδες περιλαμβάνουσι πολλὰ βακτηριόφυτα, ἃ χρηστὰ ἐπὶ τῷ φαρμακοποιεῖν. Αἱ δὲ νεωστὶ θυέλλαι τὴν ὕλην ἐγύμνωσαν.

Κινητὴς ἐξ ἀεροπλάνου νεφέλαις καθαίρει πόλιν Ρωσικήν (Marinus van de Ven)

11 Ἀπριλίου 2020

Αἱ τῆς Chelyabinsk πόλεως Ῥωσικῆς ὁδοὶ τὰς νῦν ἑβδομάδας καθαίρονται σὺν κινητοῦ ἐξ ἀεροπλάνου. Καίπερ τῶν ἐνοικούντων τινὲς τὴν ἐκ τοῦ κινητοῦ νεφέλην φοβουμένων, τῷ τοῦ κινητοῦ κράτει πᾶσαι ὁδοὶ ὁμοῦ καθαίρονται.

Καὶ ἐν τῇ Ῥωσίᾳ ὁ τῶν στεφαναλγούντων ἀριθμὸς μαλ' ηὐξάνετο διὰ τῶν δυοῖν ἑβδομάδων παρεληλυθυιῶν, καίπερ ἀποκλείσεως οὔσης ἐν πολλαῖς πόλεσιν.

φλ΄ καταπότια μεταξὺ τοῦ διαμερισθέντος πίνακος (Marinus van de Ven)

14 Ἀπριλίου 2020

Πρὸ δ΄ ἐνιαυτοὺς γυνή τις ἐδέξατο πίνακα διαμερισθέντα ὃν οὔποτε ἤρετο. Τοῦ δὲ πέμψαντος γνώστου ὄντος τὸν πίνακα ἐν θήκῃ τινὶ πέκρυψεν. Τήμερον δὲ τὴν θήκην ἀνασκευάζουσα πάλιν ηὗρε τὸν πίνακα, ὃν ἔδωκε τοῖς ἐκγόνοις. Οὗτοι δὲ ἄσμενοι τὴν πυξίδα νοίξαντες οὐ μόνον τὸν πίνακα εἶδον, ἀλλὰ καὶ ... φλ΄ κατόπτια ναρκωτικά.

Οἱ οὖν ἀστυνόμοι πειρῶνται τὸν πέμψαντα εὑρεῖν.

Ἐκτιναττόμενον κάθημα ἐξ ἀβουλίας κεντρισθέν (Marinus van de Ven)

14 Ἀπριλίου 2020

Φραγκογαλλικός τις, ξδ΄ ἔτη γεγονώς, ἐξ ἀβουλίας ἑαυτὸν τῷ ἐκτιναττομένῳ καθήματι ἐξέβαλεν ἐκ τοῦ ἀεροπλάνου, ἐπιβάτης ἐν καταδιωκτικῷ ἀεροπλάνῳ καθήμενος. φ΄ χιλόμετρα τῆς ὥρας πετόμενος ἔλιπεν τὴν μηχανήν, τύχῃ μοχλοῦ τινὸς ἅψας πρὸς τῷ καθήματι. Ὁ δ' ἀνὴρ σφαλὴς ἐπὶ γῆς ἐστι τοῦ ἀλεξιπτώτου χάριν.

Ἡ δὲ πτῆσις δῶρον ἦν τῶν τοῦ ἀνδρὸς συνεργῶν. Οὔποτε πτόμενος ἐν τοιούτῳ ἀεροπλάνῳ

μάλα ἤγχετο - ὅμως δ᾽ οὐκ ἐτόλμησεν οὐ φάναι. Διὰ δὲ σφάλμα τῆς μηχανικῆς ὁ ἡνίοχος οὐκ ἐξεβλήθη, ὥστε τὸ ἀερόπλανον ἀσφαλῶς κατήγετο.

Τὰ πάντα ἤδη πρὸ ἑνὸς ἔτους ἐγένετο· νῦν δὲ τέλος τὰ τῆς ἐξετάσεως γνωστά ἐστιν. Δηλονότι αἱ τῆς σφαλείας ἐπισκοπαὶ κάκισται ἦσαν. Οὐκέτι δῆλαι αἱ ἀκολουθίαι.

Ὁ Ποῦτιν τὴν παραγωγὴν ἀναβάλλει

18 Ἀπριλίου 2020

Ὁ Ποῦτιν μεγάλην τοῦ στρατεύματος παραγωγὴν κατ' ἐνιαυτὸν εἰς τὴν αὐτὴν ἡμέραν παρασκευάζεται, εἰς τὴν 9ην Μαίου, ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ, ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ, οἱ Ῥωσσικοὶ στρατιῶται εἰς τὴν τῆς Γερμανίας προτευούσαν Βερολίνον εἰσῆλθον· καὶ δὴ καὶ τούτῳ τῷ ἔτει, ἤδη ἑβδομήκοντα πέντε ἐτῶν ἀπ' ἐκείνης τῆς ἡμέρας ἐξελθόντων, ἐβούλετο ὁ τῆς Ῥωσσίας ἄρχων μείζονα παραγωγὴν παρασκευάζειν καὶ πολλοὺς ἄλλων χωρῶν ἄρχοντας παρακαλεῖν (ὁ τῶν ΗΑΠ πρόεδρος τὴν παράκλησιν κοσμίως ἀπέωσεν), ἀλλά, τῆς νόσου Covid-19 καὶ διὰ τῆς Ῥωσσίας διασκεδαννυμένης, ἠναγκάσθη ὁ Ποῦτιν τὴν ἑορτὴν ἀναβαλεῖν.

ἐν τῇ Ῥωσσίᾳ ὁ Δεύτερος Παγκόσμιος Πόλεμος “ὁ Μέγας Πατριῶτις Πόλεμος“ καλεῖται.

Ποῦ ἐστιν ὁ τῆς Βορείας Κορέας ἄρχων;

18 Ἀπριλίου 2020

Τῇ Τετάρτῃ τῆς προσθίας ἑβδομάδος ἡμέρᾳ οἱ τῆς Βορεαίας Κορέας πολῖται ἑορτὴν ἐποιήσαντο, ἑκόντες δὴ πάντες καὶ οὐδενὸς κελεύοντος, πῶς γὰρ οὔ, ἵνα τὸν πάππον τὸν τοῦ νῦν ἄρχοντος Kim Jong-un μεγάλως τιμήσαιεν, ὃ κατ' ἐνιαυτὸν ποιοῦσιν, ἀλλὰ τούτῳ τῷ ἔτει οὐκ ἐξῆν αὐτοῖς ἥδεσθαι τὸν ἄρχοντα αὐτὸν ὁρῶσιν, ὁ γὰρ Kim Jong-un αὐτὸς ἀπῆν· καίπερ τὴν αἰτίαν οὐδενὸς εἰδότος, λέγεται ὅτι ὁ ἄρχων, 36 ἔτη γεγονώς, μάλιστα νοσεῖ, ἀσθενεῖ, οὐδὲ τὴν γαστέρα νοσεῖ ἢ τὴν καρδίαν ἀλλὰ... τὸ βάρος, τὸ γὰρ πάσσονα τοῦ δέοντος εἶναι νόσος γεγένηται αὐτῷ.

αὕτη ἡ ἑορτὴ καλεῖται "τοῦ Ἡλίου Ἡμέρα," οὐδέποτε δὲ τὸ πρότερον ὁ Kim Jong-un ἀπ' αὐτῆς ἀπῆν· ὅστις ἂν αὐτὸν εὑρίσκῃ, δῶρον δέξεται.

Τὰ Ἰταλικὰ διδασκαλεῖα καὶ ἡ ἐν Βορείᾳ Κορέᾳ κατάστασις

26 Ἀπριλίου 2020

Ἡ τῆς Ἰταλίας ἀρχὴ ἐν νῷ ἔχει τὰ διδασκαλεῖα (ἃ τῷ μηνὶ Μαρτίου ἐκλείσθη) αὖθις μὲν τῷ μηνὶ Σεπτεμβρίου ἀνοῖξαι, μηδαμῶς δὲ τὸ νῦν· δεήσει οὖν τοὺς παῖδας τὸ ἀκαδημικὸν ἔτος διὰ τοῦ διαδικτύου τελευτᾶν, ὃ καὶ ἐν πολλαῖς ἄλλαις χώραις γιγνόμενον τυγχάνει. ὁ τῆς χώρας πρόεδρος Giuseppe Conte (ὃν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα) εἶπεν ὅτι οὐ βούλοιτο τοὺς παῖδας κινδυνεύειν (ἐν τῇ Ἰταλίᾳ 26.000 ἄνθρωποι ταύτῃ τῇ νόσῳ ἀπέθανον), εἶπε δὲ καὶ ὅτι τῇ μὲν 4η τοῦ Μαίου ἐάσοι μέρος τι τῶν ἐπιχειρήσεων αὖθις τὰ ἐργαστήρια ἀνοῖξαι, τοῖς δὲ πολίταις οὔπω ἐξέσοιτο ἄνω καὶ κάτω τῆς χώρας πορεύεσθαι.

περὶ δὲ τοῦ τῆς Βορείας Κορέας ἄρχοντος νέα φήμη διατρέχει, ἡ γὰρ τῶν νέων ἐπιχείρησις Reuters εἶπε τήμερον ὅτι ἡ Σίνα ὁμάδα ἰατρῶν πρὸς τὴν Β.Κ. πέμψειεν ἵνα τὸν Kim Jong-un θεραπεύωσιν, κατὰ δὲ τὴν αὐτὴν φήμην ὁ ἄρχων τῇ 12ῃ τούτου τοῦ μηνὸς καρδιοχειρουργίαν ἔπαθεν. οὐδὲ ἱκανὴ ἀσάφεια καὶ ταραχὴ περὶ τοῦτό ὑπάρχει ὥστε τήμερον ἐξῆν ἐν τῇ τοῦ Χὸγκ-Κὸγκ τηλεοράσει ἀκοῦσαι ὅτι ὁ Kim Jong-un ἀποθάνοι...

Ὁ "Μέγας Ἀδελφὸς" ἐν τῇ Ῥωσσίᾳ

1 Μαίου 2020

Ὁ "Μέγας Ἀδελφὸς" εἰς τὴν Ῥωσσίαν ἀφῖκται τῇ τῆς νόσου Covid-19 προφάσει χρώμενος, ἐν γὰρ τῇ προτευούσῃ Μοσκβᾷ καὶ ἐν ἄλλοις τῆς χώρας μέρεσιν οἱ ἄρχοντες νέῳ συστήματι χρώμενοι ἠργμένοι εἰσὶν ὃ τὰ τῶν πολιτῶν πρόσωπα ἀναγιγνώσκειν δύναται (τὸ μὲν τούτου τοῦ συστήματος ὄνομα FindFace Security ἐστιν, ἡ δὲ Ῥωσσικὴ ἐπιχείρησις NTechLab ἔπλασεν). οἱ δὴ ἄρχοντες, τὴν τῆς νόσου διασποράν κωλύειν πειρῶντες, κελεύουσι μὲν τοὺς πολίτας (εἴτε αὐτὴν πάσχοντας εἴτε ἄλλοις παραδοῦναι δυναμένους καίπερ αὐτοὺς οὐ πάσχοντας) οἴκοι μένειν, τὸ δὲ καμέρων σύστημα (ἤδη 146.000) ἐνέθεσαν εἰς τὸ ἐξετάζειν πότερον τούτους τοὺς πολίτας τὴν οἰκίαν ἀπολείπουσιν ἢ οὔ, εἰ γὰρ ἐκ τῆς οἰκίας ἐξέλθοι τις ὃν οὐ δεῖ αἱ κάμεραι εὐθὺς ἂν αὐτὸν ἀναγνοῖεν.

ὅμως δὲ πολλαὶ διεθνεῖς ὀργανώσεις ταύτῃ τῇ πράξει ἐνίστανται, διαβεβαιοῦνται γὰρ ὅτι οἱ ἄρχοντες λόγῳ μὲν τούτῳ τῷ συστήματι νῦν χρῶνται ἵνα τοὺς τὴν νόσον πάσχοντας εἴσω τῶν οἰκημάτων κατέχωσιν, ἔργῳ δὲ χρῆσθαι ἐν νῷ ἔχουσιν ἵνα τοὺς σφίσιν ἀνθισταμένους φυλάττωσιν, πάντας γὰρ τοὺς πολίτας φυλάττειν ἐξείη ἄν (ὅποι μὲν βαίνεις, ὦτινι δὲ διαλέγει, ὅ τι δὲ ἐσθίεις...).

Lamborghini ὠνεῖσθαι βούλεται, καίπερ παῖς ὤν

6 Μαίου 2020

Οἱ φύλακες οἳ αὐτοκίνητόν τι ἐν τῇ ὁδῷ πορευόμενον ἔπαυσαν μόλις πιστεύειν ἐδύναντο ᾧ πρὸ τῶν ὀφθαλμῶν εἶχον· ὁ κυβερνήτης ἔτυχε παῖς ὢν πέντε ἔτη γεγονώς.

ἐν τῇ τῶν ΗΑΠ χώρᾳ Utah οἱ φύλακες εἶδον αὐτοκίνητον βραδύτερον τοῦ δέοντος πορευόμενον· ὡς δὲ ἐπὶ τὸ πολὺ τὸ τῶν ὁδοφυλάκων ἔργον τὸ ἐναντίον τούτου ἐστίν, τὸ δὴ τοὺς κυβερνήτας θᾶττον τοῦ δέοντος ἐλαύνοντας παύειν τε καὶ κολάζειν, ἀλλὰ χθὲς ἡ τῆς παύσεως αἰτία παντελῶς τὸ ἐναντίον ἦν, ὁ γὰρ κυβερνήτης βραδύτατα ἤλαυνεν.

τίνα δὲ ηὗρον οἱ ὁδοφύλακες ἔντος τοῦ αὐτοκινήτου, ἐλαύνοντά τε καὶ μόνον ὄντα; παῖδα πέντε ἔτη γεγονότα· οὗτος ὁ παῖς τὸ τοῦ πατρὸς αὐτοκίνητον λάθρᾳ λαβὼν πρὸς τὴν Καλιφορνίαν ἤλαυνεν, τύχῃ δὲ οὐδεμία συμφορὰ ἐγένετο καίπερ τοῦ παιδὸς τὸ αὐτοκίνητον χαλεπώτατα ἐλαύνοντος (ἐν τῇ φωτογραφίᾳ δυνάμεθα τὸ αὐτοκίνητον παντελῶς πρὸς τὴν ἀριστηρὰν ἔξω τῆς τεταγμένης ὁδοῦ πορευόμενον).

ὅμως δὲ τὸ βέλτιστον οὔπω ἠκηκόεσαν οἱ φύλακες, ἐπειδὴ γὰρ τὸν παῖδα ἤροντο διὰ ὅ τι τὸ αὐτοκίνητον λάβοι ἀπεκρίνατο οὗτος ὅτι εἰς τὴν Καλιφορνίαν ἐλαύνοι... ἵνα ἐκεῖ Lamborghini πρίαιτο! ἆρα ἱκανὰ χρήματα παρὰ σεαυτῷ εἶχες, ὦ παῖ;

Διπλοῦς πόλεμος· οἰκονομία καὶ νόσος

14 Μαίου 2020

Τὸ θέρος πλησιάζει μέν, ἤδη δὲ τὴν θύραν κόπτει, οἱ δὲ τῆς Εὐρώπης πολῖται ἑαυτοὺς τὰ αὐτὰ ἐρωτήματα συνεχῶς ἐρωτῶσιν· “ἆρα ἐξέσται ἡμῖν τούτῳ τῷ θέρει ἀποδημεῖν; ἆρα ἐξέσται ἡμῖν ἐκ τῆς χώρας ἐκπορευθῆναι καὶ εἰς ἄλλας χώρας εἰσβῆναι;“

περὶ τῆς ἐν τῇ Εὐρώπῃ καταστάσεως καθ' ἡμέραν ἐναντία νέα ἀκούομεν ἃ καθ' ἡμέραν μεταβάλλονται, ἄλλοθί τε καὶ ἐν ταῖς Μεσογαίοις χώραις, αὗται γὰρ αἱ χῶραι, ἅτε πολλὰ χρήματα ἀπὸ τῶν τῷ θέρει περιηγητῶν δεχόμεναι, νῦν ἅμα δύο πολέμους μάχονται· πρῶτον μὲν τὸν πρὸς τὴν νόσον πόλεμον, δεῖ γὰρ τὴν τῆς νόσου διασποράν κωλύειν, ὃ τὰ ὅρια κλεῖσαι σημαίνει, δεύτερον δὲ τὸν ὑπὲρ τῆς οἰκονομίας πόλεμον, ἐὰν γὰρ οἱ ἄρχοντες τὰ ὅρια μὴ ἀνοίξωσιν ἡ οἰκονομία μάλιστα πείσεται. τὸ δὲ ὀρθὸν ἐρώτημα οὐκ ἔστιν ὁποτέρα αἵρεσις βελτίων ἐστὶν ἀλλὰ ὁποτέρα μεῖον κακή ἐστιν, δέον δὲ ἤδη κρίνειν ὅ τι χρὴ τῷ θέρει ποιεῖν, οἱ Εὐρωπαῖοι πολῖται περὶ τῆς τῶν ὁρίων καταστάσεως πυνθάνονται, εἰδέναι βουλόμενοι πότερον κεκλεισμένα μενεῖ τὰ ὅρια ἢ ἀνεῳγμένα.

καὶ δὴ καὶ δεῖ μὴ τῆς οὕτω καλουμένης “ἀπομονώσεως“ ἐπιλαθέσθαι, οἱ μὲν γὰρ ἐνίων χωρῶν ἄρχοντες νέους νόμους κατέθεσαν καθ' οὓς ὅστις ἂν εἰς τὴν χώραν εἰσβαίνῃ ἀναγκασθήσεται ἑαυτὸν πεντεκαίδεκα ἡμέρας ἀπομονοῦν πρὶν ἄνω καὶ κάτω ἐλευθέρως ὅποι ἂν βούληται ἰέναι, ἀδιανόητον δέ ἐστι τόδε, τοὺς περιηγητὰς εἰς τὴν χώραν ἀφικομένους καὶ πρὸς τὸν αἰγιαλὸν ἰέναι βουλομένους... ἀλλὰ ἐν τῷ καταγωγίῳ δύο ἑβδομάδας μένοντας. ἡ οὖν Εὐρωπαία Ἕνωσις, τοῦτο κωλύειν βουλομένη, προύθηκε χθὲς τὰ ὅρια προβάδην ἀνοῖξαι.

διπλοῦς πόλεμος ἐπιφαίνεται· πρὸς τήν τε νόσον καὶ πρὸς τὴν οἰκονομικὴν συμφοράν.

Ἆρα ἴσως ἀντίδοτον εὑρήκασιν;

19 Μαίου 2020

Κατὰ τὸ εἰκός, τὰ περὶ τῆς νόσου ἔτι καὶ νῦν μένει ὡς τὰ κεφάλαια ἐν τῇ οἰκουμένῃ ἀγγέλματα, χθὲς δὲ νέον τι ἄγγελμα εἰς τὰς ἐφημερίδας ἀφίκετο ὃ ἴσως ἡμᾶς ἐᾷ μικρὸν φῶς ἐν τοιαύτῃ σκοτίᾳ διορᾶν.

τῆς μὲν νόσου ἐπιφανείσης, πᾶσαι αἱ ἐπιστημονικαὶ ἐπιχειρήσεις ἑαυτὰς ἔρριψαν εἰς τὸ ἰάτρευμά τι εὑρεῖν ὅ τι τέλος τούτῳ τῷ δυστυχήματι θείη, ἡ δὲ ὁδὸς χαλεπή τε καὶ βραδεῖά ἐστιν, δεῖ γὰρ τὸ ἰάτρευμα πρῶτον μὲν ἐν ζῴοις πειρᾶν, ἔπειτα δὲ ἐν ἀνθρώποις αὐτοῖς.

χθὲς δὲ Ἀμερικανή τις ἐπιχείρησις, Moderna ὀνόματι, ἤγγειλεν ὅτι ἀντίδοτον φάρμακον ὃ τὴν νόσον ἀμύνει εὗροι· κατὰ δὲ τὸ ἄγγελμα ὑπὸ ταύτης τῆς ἐπιχειρήσεως πεμφθὲν τὸ μὲν ἀντίδοτον ἤδη ἐν πέντε καὶ τετταράκοντα ἀνθρώποις ἐπειράσαντο οἳ ἑκόντες αὐτὸ ἐδέξαντο, οἱ δὲ πλεῖστοι αὐτῶν τὸ αὐτὸ ἀμυντήριον σύστημα ἐπιδείκνυνται νῦν καὶ οἱ τὴν νόσον ἤδη παθόντες καὶ νικήσαντες.

νῦν δὲ αὕτη ἡ ἐπιχείρησις ἤδη ἐξουσίαν ἔλαβε τὸ αὐτὸ ἀντίδοτον ἐν 600 ἀνθρώποις ταῖς ἐπιγιγνομέναις ἡμέραις πειρᾶν, ἐὰν δὲ αὕτη ἡ δευτέρα πεῖρα καλῶς ἀποβαίνῃ ὁ τρίτος καὶ τελευταῖος σταθμὸς ἔσοιτο ἂν τὸ αὐτὸ ἐν πεντακισχιλίοις ἀνθρώποις πειρᾶν, ὃ τῷ μηνὶ Ἰουλίῳ γένοιτο ἄν.

ἡ Moderna ἐπιχείρησις ἐν τῇ χώρᾳ Massachusetts κεῖται, τὸ δὲ τοῦ ἀντιδότου ὄνομα mRNA-1273 ἐστίν.

Ἡ περὶ τῆς νόσου κατάστασις

25 Μαίου 2020

Ἡ περὶ τῆς νόσου κατάστασις οὐχ ἡ αὐτὴ διαμένει ἐν πάσαις ταῖς χώραις, παραδείγματος ἕνεκα τῆς Γαλλίας ἔτι καὶ νῦν τοὺς πολίτας ἐλευθέρως μὴ ἐκ τῶν οἰκιῶν ἐξιέναι (εἰ μὴ ἵνα σῖτον ὠνῶνται) ἀπαγορευούσης ἐν τῇ Ἰταλίᾳ οἱ ἄρχοντες ἤδη ἐξουσίαν τοῖς πολίταις ἔδοσαν ἵνα ἔξω τῶν οἰκημάτων αὖθις βίον διάγοιεν ἐφ' ᾧ τοῖς τοῦ πρὸς ἀλλήλους διαστήματος νόμοις πείθοιντο· ὅμως δέ, καίπερ τῶν ἀρχόντων μάλιστα τούτῳ προσκειμένων, ἐγένετο ὃ πάντες γενησόμενον ᾔδεσαν, οἱ δὲ νεανίαι ἐν τοῖς ὀψοπωλίοις καὶ τοιούτοις εἰς τὸ εὐφραίνεσθαι τόποις ἅμα ἀλλήλοις συνῆλθον τὸ πρὸς ἀλλήλους διάστημα οὐδαμῶς κατέχοντες ὥσπερ ἂν εἰ ἡ νόσος μηδέποτε γένοιτο, ὃ ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα, πολλοὺς νεανίας ἐν τῇ πόλει Τουρὶν ἅμα δειπνοῦντας· τὸ δὲ αὐτὸ ἐν πολλαῖς ἄλλαις πόλεσιν ἐγένετο, οὗ ἐξῆν τοιαῦτα ἀθροίσματα πανταχοῦ ἰδεῖν.

τούτων οὕτως ἐχόντων, ὁ πρωθυπουργὸς Κόντε ἄλλους τε καὶ τοὺς νεανίας ἐπώτρυνε τοιαῦτα ἀθροίσματα φεύγειν, οἱ γὰρ ἔμπειροι φοβοῦνται μὴ ἡ τῆς νόσου διασπορὰ αὖθις σκεδαννύηται.

περὶ δὲ ἄλλων χωρῶν, ἐν μὲν τῇ Ἰαπωνίᾳ ἔδοξε μὲν τήμερον τοῖς ἄρχουσι τὴν αὐτὴν ἀπόρρησιν ἀφελεῖν, ἐλπίζουσι δὲ τοὺς πολίτας προφυλάξεσθαι τε καὶ πεφυλαγμένως προσοίσεσθαι, ἐν δὲ πολλοῖς τῆς Αὐστραλίας μέρεσιν (οὔπω ἐν πᾶσιν) οἱ μαθηταὶ τήμερον εἰς τὰ διδασκαλεῖα ἐπανέρχονται.

Ταραχὴ ἐν τῇ Minessota

31 Μαίου 2020

Μεγάλη ταραχὴ ἐν ταῖς ΗΑΠ ἐγένετο, ἔτι δὲ καὶ νῦν διαμένει καὶ διαμενεῖ. τὴν δὲ τῆς ταραχῆς αἰτίαν ἤδη γιγνώσκομεν· τῇ Δευτέρᾳ ταύτης τῆς ἑβδομάδος ἡμέρᾳ ἐν τῇ πόλει Minneapolis (τῇ τῆς χώρας Minessota πρωτευούσῃ) φύλαξ μέν τις, Dereck Chauvin καλούμενος, Ἀφροαμερικανὸν πολίτην, George Floyd τῷ ὀνόματι, συλλαμβάνειν βουλόμενος ἀπέκτεινεν, αὐτὸν γὰρ χαμαὶ κεῖσθαι κελεύσας τὸ γόνυ ἐπὶ τῶν τραχήλων αὐτοῦ οὕτως καρτερῶς κατέθηκεν ὥστε μὴ πνεῖν δύνασθαι, καίπερ δὲ τοῦ Ἀφροαμερικανοῦ πολίτου πολλάκις "πνεῖν οὐ δύναμαι!" βοήσαντος ὁ φύλαξ οὔτε τὸ γόνυ ἀφεῖλεν οὔτε τὴν πίεσιν ἐμείωσεν, ἄλλοι δὲ τρεῖς φύλακες περιειστήκεσαν οὐδὲν ποιοῦντες· ἔπειτα δὲ ἀσθενούχημα μὲν τὸν G. F. ἤδη ἡμιθανῆ πρὸς νοσοκομεῖόν τι προσήνεγκεν, ὀψὲ δέ, ἀφικόμενος γὰρ ἀπέθανεν.

τοῦ οὖν ἀγγέλματος ταχέως διὰ τῶν ΗΑΠ ἀγγελθέντος, πολλοὶ πολῖται ὀργίλως εἰς τὰς ὁδοὺς εἰσωρμήσαντο ἵνα τοῖς τε ἄρχουσι καὶ τοῖς φύλαξιν ἐνσταῖεν, αὐτῶν γὰρ κατηγοροῦσι τὸν τοῦ G. F. θάνατον. τῶν δὲ διαδηλωτῶν οἱ μὲν πλεῖστοι εἰρηνικῶς διεδηλοῦντο, ὀλίγοι δὲ βιαίως, οὗτοι δὲ ἄλλα τε κακουργήματα ἐποίησαν καὶ οἰκήματά τε καὶ αὐτοκίνητα ἐνέπρησαν, ἡ δὲ ταραχὴ τοσαύτη τε καὶ τοιαύτη ἐγένετο (ἐν τῇ πόλει Indianapolis ἄνθρωπος μέν τις ἀπέθανεν, ἄλλοι δὲ δύο ἐτρώθησαν) ὥστε ἐδέησε τοὺς πολλῶν τῶν χωρῶν ἄρχοντας ταχέως νόμον ἀγγέλλειν καθ' ὃν ἀπαγορεύεται τοὺς πολίτας μὴ ἐκ τῶν οἰκιῶν ἤδη νυκτὸς γενομένης ἐξιέναι.

τὴν μὲν τῶν πολιτῶν ὀργὴν πραύνειν βουλόμενος ὁ τῆς Minessota ἀρχιδικαστὴς ἐκέλευσε τὸν φύλακα D. C. καταληφθῆναι, οἱ δὲ ἄλλοι τρεῖς φύλακες οἳ καίπερ πάντα ὁρῶντες οὐδὲν τὸν G. F. ὠφέλησαν ἐκ τῆς τῶν φυλάκων τάξεως ἐκβεβλημένοι εἰσίν.

Διάλογος τῷ τῆς ἑταιρείας Qatar Airways προέδρῳ

5 Ἰουνίου 2020

Ὁ τῆς ἑταιρείας Qatar Airways πρόεδρος, ὁ Akbar al-Baker, διελέχθη χθὲς δημοσιοφράφῳ τῆς Al Jazeera, ἣ πολλὰ ἐρωτήματα ἤρετο οὐ μόνον περὶ τῆς τῶν ἀεροφοίτων πορειῶν καταστάσεως (πολλοὶ μὲν ἀερολιμένες, τῶν ἀεροσκαφῶν χαμαὶ καθευδόντων, ἔτι καὶ νῦν κεκλεισμένοι μένουσιν, πολλοὶ δὲ ἄνθρωποι οὐχ οἷοί τ' εἰσὶ πορεύεσθαι, κτλ.) ἀλλὰ καὶ περὶ τῆς Q.A. αὐτῆς, αὕτη γὰρ ἡ ἑταιρεία (ἦ μὴν οὐ μόνον ἡ πορευτικὴ ἑταιρεία ἀλλὰ καὶ ἡ πᾶσα χώρα Qatar) πολλάκις ἐν τῷ πολιτικῶν ἐρίδων κέντρῳ κεῖται.

περὶ δὲ τῶν νέων νόμων οἳ τὰς ἑταιρείας ἀναγκάζουσιν οὕτω πράττειν ὥστε τοὺς ἐπιβάτας μὴ ἐγγὺς ἀλλήλων καθίζεσθαι εἶπεν ὁ A.B. ὃ ἤδη πολλάκις ἀκηκόαμεν· ἐὰν μὲν δέῃ ἣν ὡς ἐπὶ τὸ πολὺ "τὴν μέσην καθέδραν" λέγομεν κενὴν λιπεῖν, δεήσει ἀναγκαίως τὸ τῶν συμβόλων τίμημα αὐξάνειν, ἐὰν δὲ δέῃ καὶ κενὸν στίχον μεταξὺ τῶν ἐπιβατῶν λιπεῖν τότε τὸ τίμημα ἴσως εἰς τὸ τριπλάσιον αὐξήσεται.

τὸ δὲ κεφαλαῖον ἐρώτημα ὃ οὔπω οὐδεὶς ἀποκρίνεσθαι νῦν δύναται τόδε ἐστίν· ἆρα τοῦ τῶν συμβόλων τιμήματος τοσοῦτο αὐξηθέντος βούλοιτο ἄν τις τοσαῦτα χρήματα τίνειν; ἆρα βουληθήσεταί τις;

ἡ δημοσιογράφος ἤρετο καὶ περὶ τῆς ὑπὸ τῶν πέλας χωρῶν ἀπαγορεύσεως, πολλαὶ μὲν γὰρ τούτων, διαβεβαιούμεναι ὅτι ἡ Qatar τρομοκρατικάς τινας ἑταιρείας ὠφελεῖ, ἐκ τοῦ 2017ου ἔτους τὴν Q.A. ὑπερπέτεσθαι οὐκ ἐῶσιν, ἡ δὲ δημοσιογράφος πυνθάνεσθαι ἐβούλετο πότερον αὕτη ἡ ἀπαγόρευσις εἰς χρηματιστικὴν ἀπορίαν τὴν Q.A. εἰσθείη ἢ οὔ, ἀλλὰ ἡ ἀπόκρισις σαφεστάτη ἐγένετο, ὁ γὰρ A.B. ἀπεκρίνατο ὅτι οὐ μόνον ἡ Q.A. οὐδαμῶς εἰς χρηματιστικὴν ἀπορίαν κέοιτο ἀλλὰ καὶ αὐξηθείη.

τῷ τὸν διάλογον θεᾶσθαι βουλομένῳ ἔξεστι τούτῳ τῷ συνδέσμῳ χρῆσθαι.

Ὁ τοῦ Olof Palme φονεύς

11 Ἰουνίου 2020

Ἤδη ἴσμεν ὅστις τὸν Olof Palme ἀπέκτεινεν, ἀλλὰ τοῦτο πυνθάνεσθαι πολλῷ βραδύτερον ἐγένετο τοῦ δέοντος, τριάκοντα δὴ τέτταρα ἔτη ἐξῆλθεν ἐξ οὗ ὁ O.P. τῷ 1986ῳ ἔτει ἀπέθανεν.

ὁ O.P., τῆς Σουηδίας πρωθυπουργός, τῷ μηνὶ Φεβρουαρίῳ τοῦ 1986ου ἔτους ἐκ κινηματογραφικοῦ ἐργαστηρίου μετὰ τῆς γυναικὸς ἐκβὰς διπλῇ πυροβολήσει ἐν τῷ τῆς πόλεως Στοκχόλμης μέσῳ ἀπέθανεν. ὁ δὲ φονευς, τίς ἦν; ὁ Stig Engström, ὃν πάντες "τὸν τῆς Σκανδίας ἄνθρωπον" ὠνόμαζον (ἀπὸ τῆς ἐπιχειρήσεως ἐν ᾗ ἠργάζετο), δυνάμεθα δὲ αὐτὸν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν.

ἐκείνῳ δὲ τῷ ἔτει οἱ μὲν φύλακες, νομίζοντες τὸν S.E. μάρτυρα τοῦ φόνου εἶναι, ἀνέκριναν, ἀλλὰ οὐδὲν ὑποπτεύοντες αὐτὸν εἰς δίκην οὐχ ὑπήγαγον, ὁ δὲ ἀπελύθη, μέχρι δὲ τοῦ νῦν οὗτος ὁ φόνος ἐν τῇ ἱστορία ἔμενεν τοιοῦτος οἷος ὁ τοῦ προέδρου Kennedy φόνος, κρυφαῖόν τι· ἀλλὰ τῷ 2016ῳ ἔτει, τοῦ δημοσιογράφου Stieg Larson βίβλον ἐκδόντος ἐν ᾗ τὸν S.E. τὸν οὐδέποτε εὑρεθέντα φονέα νομίζοι, πάντα μετεβλήθη, οἱ δὲ τὸν φόνον ἐξετάζοντες πάντα τὰ τεκμήρια συναθροίσαντες νομίζουσι νῦν τὸν S.E. τὸν τοῦ O.P. φόνον εἶναι.

ὅμως δὲ οὐκ ἔξεσται τοῦτον τὸν ἄνθρωπον οὔτε εἰς τὸ δικαστήριον εἰσκαλεῖν οὔτε καταγνῶναι, διότι τῷ 2000ῷ ἔτει ἀπέθανεν (ἑαυτὸν ἀπέκτεινεν, λέγεται γὰρ ὅτι δυσκολίας πολλὰς τῇ ἑαυτοῦ χρηματιστικῇ καταστάσει καὶ τῷ οἴνῳ πολλὰ ἔτη εἶχεν)· τούτων δὲ οὕτως ἐχόντων, οἱ τῆς Σουηδίας φύλακες ποιοῦνται νῦν τοῦτο τὸ πρᾶγμα εἰς ἀεὶ κεκλεισμένον, καὶ εἰ τὸ ὅπλον ᾧ ὁ S.E. ἐχρήσατο οὐδέποτε ηὗρον.

ἡ δὲ τοῦ O.P. γυνὴ τῷ 2018ῳ ἔτει ἀπέθανεν οὐκ εἰδυῖα ὅστις τὸν πόσιν ἀποκτείνειεν.

Ἄμιλλα ἐν τῇ Galwan νάπῃ

17 Ἰουνίου 2020

Ἴσως οὔπω ἔξεστι τῷ λόγῳ “πολέμῳ“ χρῆσθαι (ἐλπίζωμεν δὲ αὐτῷ χρῆσθαι μὴ ἀναγκαῖον ἔσεσθαι), ἀλλὰ ἡ κατάστασις ἡ ἐν τῷ μεταξὺ τῆς Ἰνδίας καὶ τῆς Σίνης ὅρῳ καθ' ἡμέραν χείρων τε καὶ ἐπικινδυνώτερον γίγνεται, χθὲς γὰρ εἴκοσιν Ἰνδοὶ στρατιῶται ὑπὸ Σινικῶν στρατιωτῶν ἀπέθανον.

αὗται μὲν αἱ δύο χῶραι κοινὸν ὅρον ἔχουσι 3,500 χιλιόμετρα τὸ μῆκος ὄντα, πολλάκις δὲ ἅμιλλαν ἀλλήλοις ἔχουσιν οἱ ἑκατέρωθεν στρατιῶται (ἀλλὰ τὸ τελευταῖον στρατιώτης τις τῷ 1975ῳ ἔτει ἀπέθανεν)· παραδείγματος δὲ ἕνεκα, καὶ τῇ 9ῃ τοῦ Μαίου ἡμέρᾳ ἔνιοι ἑκατέρωθεν στρατιῶται ἐν ἁμίλλῃ τινὶ ἐβλάβησαν (οὐδεὶς δὴ ἀπέθανεν) οὗ ἀλλήλους λίθοις ἔβαλον καὶ πὺξ ἐμαχέσαντο.

ἥ τε Ἰνδία καὶ ἡ Σίνη οὐδέποτε περὶ τοῦ ὅρου ὡμολογήσαντο, ἄλλοθι τε καὶ ἐν τῇ Galwan νάπῃ, ἄδηλον γάρ ἐστι πότερον αὕτη ἡ νάπη μέρος τῆς Σίνης ἢ τῆς Ἰνδίας ἐστίν. ὡς δὲ τὸ εἰκός, αἱ δύο χῶραι ἀλλήλας περὶ τοῦ συμβαίνοντος μέμφονται· κατὰ μὲν τὸν τῶν ἐξωτερικῶν τῆς Σίνης ὑπουργὸν οἱ Ἰνδοὶ στρατιῶται δὶς τὸν ὅρον διέβησαν ἵνα τοὺς Σινοὺς στρατιώτας εἰς μάχην προκαλέσαιντο, ὁ δὲ τῶν ἐξωτερικῶν τῆς Ἰνδίας ὑπουργὸς τῶν Σινῶν στρατιωτῶν κατηγορεῖ τὸ αὐτὸ ποιεῖν. ὅμως δὲ οἱ δύο ὑπουργοὶ εἶπον χθὲς ὅτι δέοι τοῦτο κατὰ τὸν διάλογον ἐπανορθοῦν οὐδὲ κατὰ τὸν πόλεμον (τῷ μὲν 1962ῳ ἔτει αἱ δύο χῶραι μικρὸν πόλεμον ἐπολέμησαν, αὖθις δὲ τῷ 1967ῳ ἔτει, τὸ δὲ τελευταῖον τῷ 1975ῳ ἔτει).

ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα ὅπου αὕτη ἡ νάπη κεῖται περὶ ἧς αἱ δύο χῶραι ἅμιλλαν ποιοῦνται.

Ἴσως ἐν τῷ Παρίσι τὴν νόσον οὐ πάσχουσιν;

23 Ἰουνίου 2020

Ἡ δεινὴ Covid-19 νόσος ἔτι καὶ νῦν ἐνθάδε μένει, πολλοὶ μὲν ἀποθνήσκουσιν, ἄλλοι δὲ νοσοῦντες ἐν τοῖς νοσοκομείοις κεῖνται, οἱ δὲ ἄρχοντες νόμους εἰσφέρουσι καθ' οὓς ἀπαγορεύεται μὴ ἐγγὺς ἀλλήλων παρεῖναι, ἀλλὰ... πείθονται οἱ πολῖται τούτοις τοῖς νόμοις; οἱ μὲν πείθονται, οἱ δὲ ὅ τι ἂν βούλωνται ποιοῦσιν. τῷ δὲ τοῦτο ἰδεῖν βουλομένῳ ἱκανὸν ἦν ταύτῃ τῇ Κυριακῇ διὰ τοῦ Παρίσι περιπατεῖν, ἐν μὲν γὰρ τῆς πόλεως μέρεσί τισιν εἶδες ἂν τοὺς πολίτας ὀρθῶς πράττοντας καὶ τοῖς νόμοις τοῖς περὶ τοῦ τὸ διάστημα φυλάττειν πειθομένους, εἰ δὲ πρὸς ἄλλο τῆς πόλεως μέρος ἦλθες τότε ἐνόμισας ἂν ἐν ἄλλῃ ἠπείρῳ παρεῖναι, διότι ἐκεῖ οἱ νεανίαι ἐγγυτάτω ἀλλήλων εἴτε ἐκαθίζοντο εἴτε ἐχόρευον εἴτε ἀλλήλοις διελέγοντο κτλ., ὃ ἐν τῇ φωτογραφίᾳ θεᾶσθαι δυνάμεθα (φωτογραφία· Parc du Villemin).

τῷ δὲ τοῦτο ὁρῶντι εἰς τὴν μνήμην ἐπανέρχεται ὁ νόμος καθ' ὃν οὐ δυνατόν ἐστι πλείονας δέκα ἀνθρώπων ἅμα μετεῖναι... πλείονας δεκα; ἆ, ἴσως ὁ νομοθέτης πλείονας δεκακισχιλίων ἔγραψεν ἀλλὰ ἡμεῖς οὐκ ὀρθῶς ἀνέγνωμεν;

τί δὲ ἐκεῖ ἐγίγνετο ὃ τοὺς νεανίας οὕτως προσφέρεσθαι ἐπώτρυνεν ὥσπερ ἂν εἰ μηδεμία νόσος ἄνω καὶ κάτω διατρέχοι; ὃ κατ' ἐνιαυτὸν γίγνεται· ἡ τῆς μουσικῆς ἑορτή, οἱ δὲ ἐκεῖ παρόντες τοσοῦτοι ἦσαν καὶ οὕτω πυκνῶς ἠθροίζοντο ὥστε χαλεπώτατον ἦν δι' αὐτῶν διαβαίνειν εἰ μὴ βραδύτατα, αὕτη δὲ ἡ κατάστασις οὕτως ἔμενεν ἕως οἱ φύλακες, ἤδη τῇ δευτέρᾳ τῆς νυκτὸς ὥρᾳ ἀφικόμενοι, τὸν ὅμιλον διεσκέδασαν.

τῶν τούτου τοῦ ἀθροίσματος φωτογραφιῶν ταχέως διὰ τοῦ διαδικτύου διαδραμουσῶν, πολλοὶ πολῖται βαρέως ἤνεγκον τοὺς νεανίας οὕτω προσφερομένους, οἱ γὰρ ἔμπειροι φοβούμενοι μὴ δεύτερον τῆς νόσου κῦμα ἀφικνῆται τοιούτων ἀθροισμάτων συνεχῶς ἀποτρέπουσιν.

Ἀρχαιρεσίαι ἐν τῇ Σιγγαπούρῃ

30 Ἰουνίου 2020

Ἀρχαιρεσίαι γενήσονται ἐν τῇ Σιγγαπούρῃ τῇ δεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς Ἰουλίου, δεήσει δὲ τοὺς πολίτας νέους βουλευτὰς ἑλέσθαι. ἡ μὲν τῆς Σιγγαπούρης βουλὴ ἐνενήκοντα τρεῖς βουλευτὰς ἔχει, ἑκατὸν δὲ καὶ ἐνενήκοντα δύο ἄνθρωποι εἰς ἀρχὴν παραγγέλλοντες πειράσονται ὡς πλείστας τούτων τῶν καθεδρῶν κτᾶσθαι· ἐνίοτε μὲν δεῖ μόνον μέρος τῆς βουλῆς μεταβάλλειν, νῦν δὲ δέον πάσης τῆς βουλῆς ἀνανέωσιν πράττειν αὗται αἱ ἀρχαιρεσίαι πλείονος ἀξίαι εἰσι τῶν προτέρων.

ἐν τῇ Σιγγαπούρῃ ἕνδεκα μὲν κόμματα ὑπάρχει, ἐκ δὲ τῆς ἀρχῆς τὸ PAP (τῶν Πολιτῶν Πράξεως Κόμμα, People's Action Party ἀγγλιστὶ) ἀεὶ ἐν πάσαις ταῖς ἀρχαιρεσίαις νενίκηται, τὸ τοῦ Lee Kuan Yew κόμμα, τοῦ ἀνθρώπου ὃς τῆς χώρας αὐτονόμου γενομένης πρῶτος ἄρχων ἐγένετο καὶ ἀεὶ ὑπὸ τῶν πολιτῶν αἱρεθεὶς ἐν τῇ ἀρχῇ τριάκοντα ἓν ἔτη ἔμενεν.

κατὰ δὲ τὸ εἰκός, ταύταις ταῖς ἡμέραις ἐξῆν τοὺς εἰς ἀρχὴν παραγγέλλοντας ἰδεῖν τούς τε τῆς χώρας δήμους ἔνθα καὶ ἔνθα φοιτῶντας καὶ τοὺς πολίτας πείθειν πειρῶντας· ἐν δὲ τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα τὸν νῦν πρωθυπουργὸν Lee Hsien Loong τοῖς πολίταις διαλεγόμενον.

τοὺς τὴν ταύτης τῆς χώρας ἱστορίαν οὐ γιγνώσκοντας δέοι ἂν εἰδέναι ὅτι ἡ Σιγγαπούρη, ἐπειδὴ ὑπὸ τῶν Βρεταννικῶν ἐλευθέρα τῷ 1959ῳ ἔτει ἀφείθη, τῷ 1963ῳ ἔτει εἰς σύστασιν σὺν τῇ

Μαλαισίᾳ εἰσβῆναι διέγνω ἵνα μία χώρα γένοιντο, ὅμως δὲ ἐκ τῆς Μαλαισίας ἐκβληθεῖσα (πολλαὶ γὰρ ἅμιλλαι ἀλλήλαις ἀνεφήναντο) αὐτόνομος ἐγένετο· τότε μὲν ἡ χώρα οὕτω πένης ἦν ὥστε οὐδεὶς ἐλπίδα τινὰ εἶχεν τοῦ τοιαύτην χώραν περιεῖναι δυνήσεσθαι, ἔπειτα δὲ ταχέως αὐξήσασα πλουσιωτάτη γεγένηται.